Καθημερνὸ δὲν ἔλειπε, 'ς τὴν ἐκκλησιὰ 'πηγαίνει,
εἰς τοὺς πτωχούς, 'ποῦ 'βρισκε 'κεῖ 'καμνε 'λεημοσύνη.
Ὁ ῥήγας δέ, ὡς ἤμαθεν πῶς εἶνε 'γγαστρωμένη
ἡ Ἄννα ἡ γυναῖκά του, πέμπει τῆς ὥρας, παίρνει
τοὺς ἀστρολόγους γιὰ νὰ 'δοῦν τὸ τί παιδὶ θενὰ ποίσῃ
στρατήγισσα ἡ θαυμαστὴ ὅταν αὐτὸ γεννήσῃ.
Οἱ ἀστρολόγοι εἶπάν του πῶς θῆλυ θέ' γεννήσῃ,
τέκνον πολλὰ πανθαύμαστον ἐν κάλλει καὶ φρονήσει.
'Ακόμη τοῦτο εἶπάν του, πῶς ὅταν 'ς ἡλικίαν
ἔλθῃ τῶν δώδεκα χρονῶν φυλάγου τηνε λίαν,
μήπως καὶ πέσῃ 'ς ἔρωτα καὶ σᾶς ἀποξεχάσῃ,
καὶ ἀκλουθήσῃ κανενὸς κ' ἡ ῥήγισσα τὴν χάσῃ·
καὶ πάλιν ἄλλο εἶπάν του, «πῶς μέλλει διὰ νά 'βγῃ
ἡ θυγατέρα 'δῶ καὶ 'κεῖ γιὰ ὄρεξι νὰ 'πάγῃ
εἰς παραδιάβασι νὰ 'βγῇ, νὰ πᾷ παραδιαβάσῃ,

καὶ ἕνας Σύρος Ἀμηρᾶς(1) *ἔχει νὰ τὴν ἁρπάσῃ*,
ὁποῖος εἰς τὸ ὕστερο χριστιανὸς θέ' γένῃ
καὶ μὲ τὴν θυγατέρα σου παντοτεινὰ νὰ μένῃ.
Ὅμως σοῦ λέμεν, κάμε της 'σὰ γεννηθῇ παλάτι,
μέσα 'ς αὐτόνο βάλε την μὴν πέσῃ 'ςὲ ἀγάπη».
Ταῦτά 'πασιν οἱ ἐπαοιδοί, λέγω οἱ ἀστρολόγοι.
Ὅμως ἔστωντας νά 'φθασεν ὁ κύκλος τῶν ἐννέα
μηνῶν, αὐτὴ ἡ ῥήγισσα γεννᾷ Ἕλλενα(2) νέα.
Χαρὰν μεγάλην εἴχασι μέσα εἰς τὸ παλάτι
ὁ Δούκας καὶ ἡ Δούκισσα γιὰ τὴν ὡραιοτάτη
τὴ θυγατέρα 'ποῦ 'καμαν εἰς εὐμορφιὰν καὶ κάλλη,
ὁποῦ μ' αὐτὴν δὲν ἤμοιαζεν μικρὴ οὐδὲ μεγάλη.
Ἐβάπτισάν την τὸ λοιπὸν 'ς τὄνομα τῆς Τριάδος
καὶ βίον ἐμοιράσασιν, πολὺ τῆς χιλιάδος.
Εἰρήνην τὴν ἐνόμασαν ὅταν τὴν ἐβαπτίσαν,
τὸ ῥοῦχο τὸ οὐράνιον ὁπόταν τὴν ἐντύσαν.
Ὅταν λοιπὸν ἐτρέφουντον καὶ 'γίνουντον μεγάλη,
ἐπέρασεν εἰς εὐμορφιὰ μίαν τε καὶ τὴν ἄλλη.
Ὡς ἔγεινεν ἑπτὰ χρονῶν, προστάζει ὁ πατήρ της
παλάτιον γιὰ νὰ κτιστῇ ἄξιον τῆς τιμῆς της
μὲ περιβόλι, μὲ λουτρὸ καὶ μὲ τὰ κρύα νεράκια,
μὲ δένδρα καὶ μὲ λούλουδα, μὲ βρύσες καὶ αὐλάκια,
νὰ βάλῃ μέσα εἰς αὐτὸ τὴν κόρην ὅτ' ἐφοβοῦντο,
μήπως καὶ πέσῃ 'ς ἔρωτα πάντοτε ἐπτοοῦντο.
Ὅμως 'σὰν τὸ ἐτέλεσε, μέσα ἐκεῖ τὴν βάζει,
'ς τὸ περιβόλι εἶπέν της γιὰ νὰ περιδιαβάζῃ.

---

(1) Στρατηγός. (2) Ἑλληνίδα.

δούλαις τῆς ἤβαλεν ἐκεῖ ἀρχόντων θυγατέρες,
μετ' αὐταὶς γιὰ νὰ χαίρεται νύκτες καὶ ταὶς ἡμέραις·
τῶν γυναικῶν παράγγειλε πρῶτον γιὰ νὰ διαβάζῃ
γράμματα καὶ μετέπειτα νὰ 'πᾷ περιδιαβάζῃ
μέσα 'ς τὸ περιβόλιον διὰ νὰ συνεφέρνῃ
ὁ νοῦς της καὶ κατάνυξιν ὀλίγη γιὰ νὰ 'παίρνῃ.
Ἔβαλε κ' ἕναν ἄρχοντα τριγύρου νὰ φυλάγῃ
μ' ἀνθρώπους, 'ς τὸ παλάτιον τινὰς νὰ μὴν ὑπάγῃ.
Λοιπὸν ἡ κόρη ἔγεινεν νόμου τῆς ἡλικίας
κ' εὐφραίνουνταν καὶ 'χαίρουνταν μετὰ ἐπιεικείας.
Καὶ μίαν νύκτα 'φάνηκε 'ς τὴν κλίνην 'ποῦ κοιμᾶτον,
'ς τὴν κλίνην ὁποῦ τὸν γλυκὺν ὕπνον ἐπερεχᾶτον,
εἷς πτεροφόρος καὶ λαμπρὸς περίσσια θυμωμένος
ἄγριος καὶ ὡσὰν φωτιὰ ὅλος πεπυρωμένος.
'Σ τὸ χέρι του ἐβάστανε σαΐτα καὶ δοξάρι
κ' ἡ κόρη ἀφ' τὸ φόβο της ἤτρεμε 'σὰν τὸ 'ψάρι.
Καὶ παρευθὺς ἐξύπνησεν ἡ κόρη τρομασμένη
καὶ ἀφ' τὸν τρόμο ἔκραξεν ὡσὰν δαιμονισμένη.
Ἡ βάγιαις ὡς ἐκούσασιν καὶ ἡ ἀρχοντοπούλαις
κ' ἡ κοπελλούδαις ἡ μικραὶς 'ποῦ 'ταν κορασοπούλαις
ἔτρεξαν εἰς τὴν κλίνην της διὰ νὰ τὴν 'ρωτήσουν,
ἂν ἔχῃ πίκρα τίποτις νὰ τὴν παρηγορήσουν.
« 'Πέ μας, τῆς λέγουν, κόρη μας, τ' ἔχεις καὶ ἔτζι [φωνάζεις».
Καὶ αὐτὴ ἐποκρίθηκεν καὶ λέγει· «Κορασίδες,
ἠγαπημέναις καὶ χρυσαῖς τοῦ λαιμοῦ μ' ἀλυσίδες,
ὄνειρον εἶδα τρομερό, ἄνθρωπον πτεροφόρον
καὶ 'βάσταν εἰς τὸ χέρι του μιὰ σαΐτα πυρφόρον.
Φωτιὰ ἐκράτειεν κ' ἤθελεν νά με καταφλογίσῃ.

κ' εἰς τὸν κρημνὸν τοῦ ἔρωτος νά με καταποντίσῃ».
Ἡ βάγιαις 'σὰν τὸ κούσασι λέν της νὰ μὴ φωνάζῃ,
παρηγοροῦν καὶ λέγουν της ποσῶς νὰ μὴν τρομάζῃ,
ὅτι τὤνειρον τοῦ δαίμονος, γιὰ τοῦτον ἔχει στάσι,
τὸν πειρασμὸν ἀπόδιωξε καὶ ἄφης τον νὰ σκάσῃ.

## Λόγος Δεύτερος.

Λοιπὸν ἐκεῖνον τὸν καιρὸν εἰς πόλεμον μεγάλο
ἐπῆγεν ὁ πατέρας της καθὼς ἀναθυβάλλω
καὶ τὴν γυναῖκά τ' ἄφηκεν 'ς τὸν θρόνο γιὰ νὰ κρίνῃ·
ἐν μιᾷ τῶν ἡμερῶν λέγει της ἡ Εἰρήνη·
« δέομαί σου, μητέρα μου, ὁ λόγος μου νὰ γείνῃ.
Ἄφης με νἆ 'βγῶ καὶ ἐγὼ γιὰ νὰ περιδιαβάσω
καὶ τὴν πολλὴ ἀρρᾳθυμιὰ ὁποῦ 'χω νὰ χαλάσω,
ὅτι δὲν ἠμπορῶ ποσῶς νὰ ἦμαι 'σφαλισμένη,
μέσα 'στὸν πύργον τὸν 'ψηλὸν ἔτζι καλὰ κλεισμένη».
Ὡς τό 'κουσεν ἡ Δούκισσα ὥρισε καὶ 'τοιμάζουν
θαυμαστὰ ἀλογάμαξα καὶ ἄνω τήνε βάζουν·
καὶ 'μπαίνουσα ἡ θαυμαστὴ κόρη μέσα 'ς τἀμάξι
ἐπήγαινε μ' ἀρχόντισσαις καὶ δούλαις ὡς ἦν τάξι.
Κατὰ δ' ἐκεῖνον τὸν καιρὸν ἦτό τις ἀνδρειωμένος
μεγάλος 'Αμηρᾶς μὲ γνῶσι στολισμένος,
τοῦ ὁποίου ἡ γενεὰ ἦτον ἀφ' τὴν Συρία
καὶ εἰς αὐτὴν ἐθράφηκε μὲ πλεῖστ' ἐλευθερία.
'Ανδραγαθίαις ἤκαμνεν ὡσὰν δαιμονισμένος,
κάστρη ἐχάλασε πολλά, χώραις ἠφάνισέν της,
καὶ μὲ τὸ νά 'χῃ φρόνησι καὶ γνῶσι 'ς τὸ κεφάλι,

τὸν ἔκαμαν ἀφέντη τους Ἀμηρᾶ καὶ στρατηγόν,
κριτὴν καὶ ἐξουσιαστὴν εἰς τὴν Συρίαν ἀπάνω,
καὶ ἐξουσίαν τοῦ 'δοσαν νὰ 'πάγῃ 'ς τοὺς Σερβίταις·
ἐὰν ἔγεινε λοιπ' ἀμηρᾶς καὶ πρῶτος τῆς Συρίας,
τὰ σύνορα ἐκούρσευγεν πολλὰ τῆς Ῥωμανίας.
Κουρσεύωντας λοιπὸν παντοῦ ἦλθεν καὶ εἰς τὰ ὄρη
ἐκεῖ ὁποῦ 'ξεφάντονεν ἡ θαυμαστὴ ἡ κόρη.
Καὶ ὡς τὴν εἶδεν Ἀμηρᾶς ἁρπάζει την καὶ 'πάγει
'ς τὴν τέντα του καὶ μέσα 'κεῖ καλὰ τήνε φυλάγει.
Καὶ βλέπωντας τὰ κάλλη της ἐξεστηκὼς ἐγείνη
καὶ εἶχε πόθον περισσόν, μὲ ταύτην γ̮ιὰ νὰ μείνη.
Φθάνει 'ς τὴν χώραν τὸ λοιπὸν τὸ θλιβερὸ μαντάτο.
Ἡ χώρα ἀφ' τὴν θλίψιν της ἔγεινεν ἄνω κάτω.
Μαθαίνει καὶ ἡ δούκισσα πῶς σκλάβα ἡ Εἰρήνη
ἐγείνην, καὶ ἀφ' τὴν θλίψιν της ὡσὰν νεκρὰ ἐγείνη,
καὶ τοὺς υἱούς της ἔκραξε καὶ ἀρχινᾷ καὶ κλαίει,
καὶ μὲ φωναὶς καὶ ὀδυρμοὺς τέτοιας λογῆς τῶν λέγει·
« Ἐπήρασιν αἰχμάλωτον τὴν ἐδική μου κόρη,
τὴν ἐδικήσας ἀδελφή, καὶ τί νὰ γείνω τώρη;
Ὁ Ἀμηρᾶς τὴν ἥρπαξε καὶ τώρα τί νὰ γείνω
ὁποῦ ἐγὼ γ̮ιὰ λόγου της, 'ξεύρετεν παραδίνω».
Ὡς ἤκουσαν τὰ λόγ̮ια της πολλὰ ἐπικραθῆκαν
καὶ τὰ κεφάλ̮ια 'δέρνουσι καὶ δάκρυα 'φορτωθῆκαν.
Ἡ μάνα τοὺς παρηγορᾷ, λέγει τους· « μὴν λυπᾶσθε,
παιδάκ̮ια μου, μὴ θλίβεσθε, μηδὲ παραπονᾶσθε,
γ̮ιατ' ἀνδρειωμένοι εἴστενε, καὶ ἀμέστ' ἁρπάξατέ την
ἀπὸ τὰ χέρια τ' Ἀμηρᾶ καὶ μένα φέρετέ την.
Ἔπαρε τὰ ἀδέλφ̮ια σου, υἱέ μου Κωνσταντῖνε,
καὶ σῦρε καὶ πολέμα τον 'ς ὅποιον τόπον εἶνε

καὶ ἐλπίζω εἰς τὸν Θεὸν νὰ φανῇς ἀνδρειωμένος.
Ἐλπίζω καὶ τὴν κόρη μου καὶ σένα ἀδελφή σου,
νὰ τήνε φέρῃς ’γλήγορα ’ς τὴν συνοδ̮ιὰ μαζί σου,
νὰ τὴν ἰδῶ νὰ ’λαφρωθῶ ἀφ’ τὰ περίσσια πάθη
γ̮ιατ’ ἀφ’ τὴν θλίψιν τὴν πολλὴ ἡ ζωή μου ἐχάθη.
Μόνο τὸ ’γληγορώτερο τρέξε νὰ πολεμήσῃς
τὸν ’Αμηρᾶ γ̮ιατὶ καλὰ ’ξεύρω πῶς θὲ νὰ νικήσῃς».
Καὶ παρευθὺς ὁ Κωνσταντῆς τὴν κεφαλή του γέρνει
καὶ τῆς μητρός του τὴν εὐχὴ μὲ ὑπακοὴ ’παίρνει,
καὶ ’σὰν ἐπῆρε τὴν εὐχὴ σελλόνει τὸ φαρί του,
ὁμοίως κ’ οἱ ἐπίλοιποι καὶ ἄλλοι ἀδελφοί του.
Τὸ ἄλογο τοῦ Κωνσταντῆ ἔτρεχε ’ς τὸν ἀέρα,
εἰς τὸ κεφάλι εἶχενε ἕναν χρουσὸ ἀστέρα,
καὶ ὀπίσω ’ς τὴν ῥάχι του ᾀτὸν ζωγραφισμένο,
ἀπὸ χρυσάφι καθαρὸ καὶ λίθους κοσμημένο.
Τὰ ἅρματα καὶ ἡ στολὴ ἦτον ὡραιοτάτη,
ἀπὸ ἐχθροὺς σωματικοὺς Θεὸς νὰ τὸν φυλάττῃ.
Καϐαλλικεύει τὸ λοιπὸν ’κ εἰς τὰ βουνὰ καὶ δάση
ἐγύρευε τὸν ’Αμηρᾶν διὰ νὰ τὸν χαλάσῃ,
κ’ οἱ ἄλλοι ὁμοίως ἀδελφοὶ καὶ αὖτ’ ἁρματωμένοι
καὶ ’γύριζαν καὶ ’γύρευγαν μήπως καὶ τὸν εὑροῦσι.
Καὶ μίαν ἡμέρα ’πὸ μακρυὰ στράτευμα θεωροῦσι.
Τότες ὅλοι μὲ τὴν χαρὰ π̮ιάνουν τὰ σιλιϐάρια,
’ς τὸν ’Αμηρᾶ ἐτρέχουσιν ’σαν ἄγρια λειοντάρια.
Ὁ ’Αμηρᾶς ἀπὸ μακρυὰ τὸν Κωνσταντῖνο βλέπει,
πῶς ἤρχουνταν ἀπάνω του ’σὰν νὰ διώχῃ κλέπτη.
Βλέπει καὶ τὴν ἁρματωσιὰ ὁποῦ ’τον φορεμένος,
Εὐθὺς ἐκαϐαλλίκευσεν νὰ τὸν προϋπαντήσῃ,
μέσα ἐκεῖ ’ς τὴν ἐρημ̮ιὰ γ̮ιὰ νὰ τὸν πολεμήσῃ.

Ἐκεῖ 'ποῦ 'πήγαινεν λοιπὸν μὲ ὅλο του τὸ θάρρος,
ἕνας του δοῦλος λέγει του· « ἀφέντη, χωρὶς βάρος
λόγον θέλω νὰ σοῦ εἰπῶ, καὶ ἄκουσον νὰ ζήσῃς,
μὴ θὲς μ' αὐτὸν 'ποῦ ἔρχεται πόλεμον νὰ κτυπήσῃς,
ὅτ' ἐγὼ καλὰ γνωρίζω τον 'πῶς εἶν' ἀνδρειωμένος,
κ' εἰς τὸ κοντάρι καὶ σπαθὶ περίσσια προκομμένος».
Δὲν πείθεται ὁ 'Αμηρᾶς 'ς τὰ λόγια 'ποῦ τοῦ λέγει
ὁ δοῦλός του, μὰ ἄρχισεν εὐθὺς νὰ τὸν ἐψέγῃ.
Λέγει του· « σῶπα, ἄνανδρε, ὅτ' ἐγὼ θέλει νικήσω
καὶ τότες περισσότερον θέλει σε ὀνειδίσω».
Τοῦτά πενε ὁ 'Αμηρᾶς, γιατὶ τῶν δουλευτάδων
τὰ λόγια δὲν ἰσχύουσι 'ς ταὐτιὰ τῶν ἀφεντάδων,
καθὼς τὸ λέγει ὁ σοφὸς μέγας 'Αριστοφάνης
'ς τὴν κωμῳδία 'ποῦ λέγεται τοῦ Πλούτου κ' ἔχει χάρεις.
Ἐπειδὴ λοιπὸν κ' ἔσμιξαν καὶ ἐχαιρετιστῆκαν,
ὁ Κωνσταντῖνος καὶ 'Αμηρᾶς καλὰ ἐγνωριστῆκαν·
ἀρχίζουσι μὲ κονταριαὶς νὰ διπλοχαιρετοῦνται,
καὶ τὴν ζωὴν οὐδὲ ποσῶς νὰ μὴν τὴν ἐνθυμοῦνται.
Πηλαλοῦν τὰ φαρία τους, τὰ πτερνιστήρια κροῦσι
καὶ πόλεμον ἐκάμνασιν καὶ κονταριαὶς κτυπῶσι.
'Σὰν δράκοντες ἐμούγκριζαν, 'σὰν λέοντες βρυχοῦντο,
'σὰν ἀετοὶ ἐπέτουνταν κ' ἤρχουνταν καὶ κτυποῦντο.
Ὁ Κωνσταντῖνος ἔμοιαζεν τοῦ 'Αχιλέ, 'ς τὴν πάλη
καὶ 'Αμηρᾶς τοῦ Ἕκτορος δύναμιν τὴν μεγάλη·
γὴ ἔμοιαζεν ὁ Κωνσταντῆς Διομήδους τοῦ Τυδέως
καὶ 'Αμηρᾶς θαρρῶ καλὰ τοῦ γνωστίκ' 'Οδυσσέως.
Πόλεμον λοιπὸν ἔκαμαν πολλὰ ἀνδρειωμένον,
σκληρὸν καὶ ἀλογάριαστον, περίσσια τρομασμένον.
'Σὰν εἶδαν ὅτι πῶς τινὰς δὲν 'μπόρει νὰ νικήσῃ

καὶ ἕνας τἄλλου εἰς τὴν γῆν τὸ αἷμα γιὰ νὰ χύσῃ,
ἀφίνουν τὰ κοντάρια τους καὶ πιάνουν τὰ σπαθιά τους
γιατὶ τὸν πόλεμον πολλὰ ἤθελεν ἡ καρδιά τους.
Καὶ πάλε 'ξαναρχίσασιν, πόλεμον ἐκτυποῦσαν,
ἀπὸ τοὺς κτύπους τὰ βουνὰ κ' οἱ κάμποι ἐδονοῦσαν.
Τότες ἐκεῖ 'ς τὸν πόλεμον σηκόν' ὁ Κωνσταντῖνος
μιὰ ῥάβδο 'ποῦ ἐκράτειενε 'ς τὸ χέρι του ἐκεῖνος
καὶ μὲ αὐτὴν ἐκτύπησεν τἀμηρᾶ 'ς τὸ κεφάλι
καὶ ἤκαμέ του μιὰν πληγὴ κατὰ πολλὰ μεγάλη.
Καὶ κάτω 'ς τὴν γῆν ἔπεσε 'σὰν ἀποθαμμένος
καὶ 'κοίτουντον ὁ ἄθλιος 'ς τὸ χῶμα 'ξαπλωμένος.
Ὡς εἶδαν οἱ σύντροφοι ὅτι 'πῶς ἐνικήθη
ὁ 'Αμηρᾶς καὶ εἰς τῆς γῆς τὸ χῶμα ἐτυλίχθη,
τρέχουν καὶ τὸν ἁρπάζουσι νὰ μὴν τὸν θανατώσῃ
ὁ Κωνσταντῖνος κ' εἰς τῆς γῆς τὸ χῶμα τόνε χώσῃ,
καὶ καθὼς τὸν ἁρπάξασιν τοῦ λέσιν· «μὴ θελήσῃς
πλει', ἀφέντη, μὲ τὸν Κωνσταντῆ νὰ βγῇς νὰ πολεμήσῃς,
μόνο ἀγάπην ἂν 'μπορῇς κάμε μ' αὐτὸν γιὰ νά 'χῃς
ἀνάπαψιν καὶ ἀφοβιὰ εἰς ὅποιον τόπο λάχῃς».
Ὅμως 'σὰν ἐσυνέφερεν ὁ 'Αμηρᾶς 'φοβήθη,
μήπως καὶ ἀφ' τὸν Κωνσταντῆ 'πάγῃ μέσα 'ς τὰ βύθη
τοῦ Ἅδου καὶ ἐτρόμαξε καὶ γιὰ τοῦτο καθίζει
εἰς τἄλογον καὶ 'γλήγορα 'ς τὸ στράτευμα γυρίζει·
καὶ φεύγωντας ἐγύρισε πάλι καὶ φοβερίζει
τὸν Κωνσταντῖνον, κ' ἤρχισε μὲ λόγια νὰ ὑβρίζῃ·
τὸ δάκτυλό του ἔσειενε, ἐκούνειεν τὸ κεφάλι.
«Αὔριο, τοῦ λέγει, θέλει 'δεῖς καὶ σὺ μεγάλη ζάλη».
Ὡς εἶδεν δὲ ὁ Κωνσταντῆς τὸ 'πῶς τὸν φοβερίζει
ὁ 'Αμηρᾶς καὶ 'βρίζει τον καὶ ὀπίσω δὲν γυρίζει,

ἀρχίζει καὶ τὸν κυνηγᾷ διὰ νὰ τόνε φτάξῃ.
μὲ τὸ κοντάρι 'ποῦ κρατεῖ νὰ σύρῃ νὰ τὸν σφάξῃ.
Καὶ ὅταν ἐκόντεψε κοντὰ κ' ἤμελλε νὰ τοῦ σύρῃ
τὴν κονταριὰ καὶ εἰς τὴν γῆν κάτω νὰ τόνε γύρῃ
ἐτρόμαξεν ὁ 'Αμηρᾶς, ἀρχίζει μυριολόγια,
τοῦ Κωνσταντίνου ἔλεγε γλυκειὰ καὶ καλὰ λόγια.
« Παρακαλῶ σε, τοῦ 'λεγε, ποῦσαι, ὦ ἀνδρειωμένε,
τὴν μάχην καὶ τὸν πόλεμον, νέε χαριτωμένε ».
Τότες τοῦ λέ' ὁ Κωνσταντῆς· « ἂ θέλῃς γιὰ νὰ ζήσῃς,
καὶ μὲ τιμὴ 'ς τὸ 'σπίτι σου ὀπίσω νὰ γυρίσῃς,
ἂ θὲς νὰ παύσ' ὁ πόλεμος νὰ παύσουσιν οἱ πόνοι,
νά 'χῃς ἀγάπην μετὰ μέν', δός μου τὴν ἀδελφή μου,
γιατὶ γι' αὐτήνην πολεμῶ καὶ βάζω τὴν ζωή μου ».
Καὶ 'Αμηρᾶς « μετὰ χαρᾶς, λέγει, νά σού τὴν δώσω,
γιατὶ ἐγὼ δὲν δύνομαι μὲ σένα νὰ μαλλώσω ».
'Εκεῖ 'ποῦ ἐλογάριαζαν καὶ ἐφιλονεικοῦσαν
καὶ ταὶς ἀγάπαις καὶ φιλιαὶς νὰ κάμουν ἐμιλοῦσαν,
ἦλθαν κ' οἱ ἄλλοι ἀδελφοὶ 'σὰν λύκοι ἀγριωμένοι,
ἀπάνω εἰς τὸν 'Αμηρᾶν ἐτρέξαν θυμωμένοι.
Ὅμως, ὡσὰν ἐγροίκησαν τὸ 'πῶς ἐλευθερόνει
τὴν ἀδελφὴ καὶ μὲ χαρὰ 'ς τὰ χέρια τους τοῖς δόνει,
ἐπαύσασιν ἀφ' τὸν θυμὸν κ' ἦλθαν εἰς 'μερωσύνη.
Τὰ πρωτεινὰ τὰ δάκρυα ἤφεραν 'ς εὐφροσύνη,
καὶ τὸν Θεὸν ἐδόξασαν μὲ ὅλην τὴν καρδίαν
γιατὶ 'ς τὴν θλίψιν τὴν πολλὴν ηὗραν παρηγορίαν.
'Αφ' οὗ λοιπὸν ἐτέλειωσαν τὰ λόγια 'ποῦ 'μιλοῦσαν,
τἀδέλφια τὸν 'Αμηρᾶν ἤρχισαν καὶ 'ρωτοῦσαν.
« 'Πέ μας, ἀφέντη 'Αμηρᾶ, ποῦ εἶν' ἡ ἀδελφή μας ;
νὰ τὴν ἰδοῦμεν θέλομεν, ὅτ' ἐβγαίνει ἡ ψυχή μας.

Πού εἶν' νά τηνε 'πάρωμεν νὰ 'πᾶμεν εἰς τὴν χώρα ;
Δός μάς την τώρα 'γλήγορα νὰ φύγωμεν μὲ ὥρα».
Τοῦτα ἐκεῖνοι ἔλεγον, μὰ ὁ 'Αμηρᾶς πάλι
εἶχε 'ς τὸ νοῦ του διγνωμιὰ καὶ 'πιβουλὴ μεγάλη,
νὰ τοὺς ἐβγάλῃ ἀπ' ἐκεῖ, ἔπειτα νὰ 'πᾷ χώσῃ
τὴν κόρη, ὅτ' ἒν ἤθελε ποσῶς νά τηνε δώσῃ.
Καὶ δὲν ἀπῆγεν μὲ αὐτοὺς διὰ νὰ τὴν γυρεύσουν
εἰς κάθε ἑκατόνταρχον καὶ ὅπου θέν' μπορέσουν,
μὰ ἤδωκέν τους ὁρισμό, ἐκεῖνοι μοναχοί τους
νὰ 'πάγουν νὰ γυρεύσουσιν νά 'βρουν τὴν ἀδελφή τους.
Καὶ κεῖνος εἴχενε βουλὴ νὰ 'πάγῃ ἄλλο μέρος
νά τηνε κρύψῃ, ὀτὶ μ' αὐτὴν ἦτον δαιμονισμένος.
Καὶ τὰ παιδιὰ δὲν εἴξευραν τὴν γνώμην του τὴν ἄλλη,
γιὰ τοῦτο 'παίρνουν τὸ χαρτὶ μ' εὐφροσύνη μεγάλη
καὶ 'πῆγαν 'ς τὰ φουσάτα του ἐδῶ κ' ἐκεῖ ὁδεύουν,
ταὶς τένταις καὶ στρατεύματα πολλὰ καλὰ γυρεύουν,
γυρεύουσιν, στοχάζονται, ποσῶς δὲν τὴν εὑρίσκουν,
γιὰ τοῦτο πάλ' ἀρχίζουσιν, μυριολογοῦν καὶ πλήσκουν.
'Σὰν εἶδαν 'τὶ 'πῶς τίποτις δὲν κάμνουν μουρμουρίζουν
καὶ μὲ θυμὸ εἰς τὸν 'Αμηρᾶ πάλι 'ξαναγυρίζουν.
'Σ τὴν στράτα 'ποῦ 'πήγαιναν νὰ 'πᾶν νὰ τὸν γυρεύουν
χωριανὸς τοὺς ἀπαντᾷ, 'ρωτᾷ τους ποῦ ὁδεύουν.
«Ποῦ 'πάτενε, τοὺς ἐρωτᾷ κ' εἴστενε κλημαμένοι».
'Εκεῖνοι ἐποκρίθησαν· «Γιατὶ αἰχμαλωτίσθη
ἡ ἀδελφή μας καὶ γι' αὐτὸ ὁ νοῦς μας ἐσκοτίσθη.
Καὶ τώρα τὴν γυρεύομεν μήπως καὶ τὴν εὑροῦμεν,
πριχοῦ νὰ ἀποθάνωμεν οἱ ἄθλοι νὰ τὴν 'δοῦμεν».
Λέγει τους ὁ χωριανός· «'ς τὸ δάσος μέσα 'μπῆτεν
ἐκεῖ ὁποῦ ἐσφάξασι ταὶς κόραις γιὰ νὰ 'δῆτεν,

γιατὶ πολλαὶς δὲν ἤθελαν γιὰ νὰ παραδοθῶσι,
καὶ ὥρισεν ὁ Ἀμηρᾶς νὰ ἀποκεφαλιστοῦσι
καὶ τὰ λαμπρά τως τὰ κορμιὰ μὲ αἷμα νὰ λουστοῦσι».
Ὡς ἤκουσαν τὰ θλιβερὰ καὶ πικραμμένα λόγια
ἐκλαίγασι καὶ λέγασιν ἄμετρα μυριολόγια,
καὶ εἰς τὸ δάσος ἔτρεξαν κεῖνο τῆς καταδίκης
γιατὶ νεκρὸ ἐλόγιαζαν νὰ εὕρουν τὸ κορμί της.
Ηὗραν ἐκεῖ κοράσια πολλὰ κ' ἦταν σφαμμένα
κάτω 'ς τὴν γῆν, 'ς τὰ χώματα ἄθλια κυλισμένα.
Καὶ ταύτας θεασάμενοι, ἔκπληξις τούτους εἶχεν,
καὶ τὰς χεῖρας ἁπλώσαντες τὰς κεφαλὰς κρατοῦσιν,
καὶ βλέπουσι τὰ πρόσωπα διὰ νὰ ἐγνωρίσουν,
τὴν ἀδελφὴν τὴν θαυμαστὴν αὐτὴν ἣν ἀνηρεύνων·
καί, ὡς οὐδὲν εὗρον αὐτήν, χοῦν ἔλαβον εὐθέως,
ἐπέχεον τὰς κεφαλάς, καὶ ἤρξαντο τοῦ κλαίειν,
ὀδυρμοὺς δὲ ἐκίνησαν καὶ θρήνους ἐκ καρδίας·
ἐμαρτύρουν τὸν ἥλιον, λέγοντες πρὸς ἐκεῖνον
«ἥλιε ὦ λαμπρότατε, φωστὴρ παντὸς τοῦ κόσμου,
δεῖξον ἡμῖν τὴν ἀδελφήν, ὁποία ἦν ἐκ τούτων,
καὶ κλαύσωμεν καὶ θάψωμεν αὐτὴν μετὰ τῶν ἄλλων·
ποίαν κάραν ἐπάρωμεν, ποίαν χεῖρα κρατῶμεν,
καὶ ποῖον λόγον δώσομεν πρὸς τὴν καλὴν μητέρα;
καὶ πῶς αὐτὴ θρηνήσεται καὶ τὰς χαίτας ἐκτίλλει;
ἥλιε, τί ἐποίησας ἡμῖν τὸ κακὸν τοῦτο;
ἀπὸ τοῦ νῦν οὐ πρέπει μας νὰ ἥμεσθα εἰς κόσμον·
μόνον οὐδὲν ἠθέλησαν ἐκβαλεῖν τὴν ψυχήν της,
ἀλλ' ἔκοψαν τὰ κάλλη της, ἀγνώριστος ὑπάρχει·
ἰδοὺ σώματα βλέπομεν, αὐτὴν οὐ θεωροῦμεν·
ἀλλ' ὦ ἀδελφὴ παμπόθητε, πῶς ἐκαταδικάσθης;

οὐαὶ ἡμῖν τοῖς ταπεινοῖς ἀπῆλθες ἐκ τοῦ κόσμου,
καὶ ἐξελθοῦσα ἡ ψυχή, ἐχάθη καὶ τὸ κάλλος.
Πῶς δὲ παρ' ὥραν ἔδυνας καὶ ἔσβεσας τὸ φῶς μας,
καὶ κατεκόπης μεληδὸν ὑπὸ βαρβάρων χεῖρας;
πῶς οὐκ ἐνάρκησεν ἡ χεὶρ ἀνηλεοῦς ἐκείνου,
τοῦ μὴ κατελεήσαντος νεότητος τερπνῆς σου!
Ὄντως, εὐγενικὴ ψυχή, παρὰ ἀτίμως ζῆσαι,
ἠρετίσω τὸν θάνατον καὶ σφαγὴν ὀλεθρίαν·
ἀλλ', ἀδελφὴ παγκάλλιστε, ψυχή τε καὶ καρδία,
πῶς σε διαχωρίσομεν ἐκ τῶν πολλῶν σωμάτων,
καὶ πῶς ἐκ τούτου ἕξομεν μικρὰν παραμυθίαν;
Λοιπὸν ὁ κύων σ' ἔσφαξε, πρὸς ᾅδην ἔστειλέ σε;
ὢ πονηρᾶς ὠμότητος, βίᾳ τῶν ἀλλοφύλων
πῶς ἔπαθες, μακρόθυμε, ταύτην τὴν ἀνομίαν;
Δέξου καὶ θρήνους τοὺς πολλούς, κόρη τῶν ἀδελφῶν σου
μίαν μόνην σε εἴχαμεν κοσμοπαραμυθίαν,
καὶ θαρροῦμεν ἀπέθανες παρθένος ἕως τέλους».
Ἀφοῦ δὲ κλαύσαντες αὐτὴν ἔθαψαν ἅμα πάσας.
Αὐτοὶ δὲ ὑποστρέψαντες 'ς τὸν Ἀμηρᾶν ἀπῆλθον,
καὶ παρευθὺς ἐξέλκυσαν καὶ οἱ πέντε τὰς σπάθας,
καὶ κατὰ πρόσωπον αὐτοῦ οὕτως τὸν συντυχαίνουν·
«ὢ Ἀμηρᾶ, πρῶτ' ἀμηρᾶ, καὶ κύων τῆς Συρίας,
τὴν ἀδελφὴν ἣν ἥρπασες μηδὲν μᾶς τὴν στερήσῃς,
εἰ δὲ καὶ πράξεις ἄθεσμα, πάντως ἐθανατώθης·
οὐδεὶς ἡμῶν χωρὶς αὐτῆς ἀποστραφῆναι θέλει,
ἀλλὰ σφαγῶμεν ἅπαντες διὰ τὴν ἀδελφήν μας»
θερμὰ κινοῦντες δάκρυα ἐκ μέσου τῆς καρδίας.
Ἀκούσας ταῦτα ὁ Ἀμηρᾶς μεγάλως ἐπτοήθη,
ἤρξατο τούτους ἐρωτᾶν· «τίνες καὶ πόθεν ἦτε;

ποίου γένους ὑπάρχετε ἀπὸ τῆς Ῥωμανίας;»
Καὶ τότ' ὁ πρῶτος ἀδελφὸς οὕτως ἀνταπεκρίθη·
«ἡμεῖς, Ἀμηρᾶ, λέγοντες τυγχάνομεν ἀρχῆθεν
ἐκ χώρας ἀνατολικῆς, ἐξ εὐγενῶν γονέων·
ὁ πατὴρ ἡμῶν Ἀνδρόνικος ἐκ τῶν Δουκῶν τὸ γένος
κατάγεται τῶν θαυμαστῶν ἀπὸ τῶν Κινναμάδων
καὶ Μουσελὼμ ὁ ἐξακουστὸς πατὴρ ὁ τοῦ πατρός μας,
ἡ δὲ μήτηρ ἡμῶν αὐτὴ ἀπὸ τῶν Κυρμαγάστρων
τὸ γένος ἐκκατάγεται τῶν πλουσίων ἐκείνων.
Δώδεκα θείους εἴχαμεν καὶ ἐξαδέλφους ἕξη.
Ὁ πατὴρ ἡμῶν ἐξορισθεὶς διά τινας μωρίας,
ἀπῆλθεν εἰς τὰς ἄκρας γε λαὸν τοῦ συναθροῖσαι·
ἐκεῖνοι ἂν σὲ εὕρισκον, κόσμον οὐκ ἐθεώρεις.
Οὐδεὶς ἡμῶν ἐτύγχανεν ἐν τῇ ἀποδημίᾳ,
καί, εἰ ἐκεῖ ἐτύχομεν, οὐ μὴ συνέβη τοῦτο,
οὐδὲ ἡ ἀδελφὴ ἡμῶν ἐκ χειρῶν σου ἡρπάγη,
ἀλλ' οὐδὲ εἰς τὸν οἶκόν μας εἴχετε προσεγγίσαι.
Πέντε ἀδελφοὺς ἐγέννησεν ἡ μήτηρ μας, οὓς βλέπεις,
μίαν εἴχαμεν ἀδελφήν, τὸ γέννημα ἡλίου,
καὶ μετ' αὐτῆς ἐχαίρομεν ἐν τῷ παρόντι κόσμῳ
καὶ τανῦν σὺ ἀπόδος μας τὴν ἀδελφὴν ἐκείνην·
οὐκ οἶδας ὅτι στέλλομεν ἀνθρώπους ἐδικούς μας,
νὰ φέρουν τὰ φουσάτα μας ἀπὸ τοῦ ταξειδίου,
φέρουν καὶ τὸν πατέρα μας ἀπὸ τῆς ἐξορίας,
νὰ σὲ καταγυρεύσωμεν ὅπου καὶ ἂν τυγχάνῃς;
οὐ γὰρ ἀνεκδιήγητον ἐάσομεν τὸ πρᾶγμα,
τὸ εἰς ἡμᾶς γενόμενον, πάντες σοὶ μαρτυροῦμεν».
Ἐγώ, καλοὶ νεώτεροι, ὁ Ἀμηρᾶς ἀντέφη,
τοῦ Χρυσοχέρπου ὁ υἱὸς εἰμὶ καὶ τῆς Σπαθέας

τέθνηκε γάρ μου ὁ πατήρ, νήπιον καταλείψας,
ἐκδίδομαι παρὰ μητρὸς εἰς Ἀραβίτας θείους,
οἵ με καὶ ἀναθρέψαντες εἰς Συριανῶν τοῦ πόθου.
Ἀμβρὼν ἦτον ὁ πάππος μου, θεῖός μου ὁ Καρώης.
Καὶ εὑρόντες εὐτυχοῦντά με εἰς πάντας τοὺς πολέμους,
ἐξουσιαστήν με ἐποίησαν εἰς ὅλην τὴν Συρίαν,
διαλεκτοὺς μὲ ἔδωκαν ἀγούρους τρισχιλίους.
Συρίαν ὅλην ὑπέταξα, ἐποίησα καὶ τὸ Κοῦφερ,
τοῦ Ἡρακλέος ἐκούρσευσα, τὸ Ἀμόριν καὶ τὸ Ἰφέριν·
ἐμὲ ποτὲ οὐκ ἐπτόησαν φουσάτα ἢ θηρία,
μία γυνὴ μὲ ἐνίκησεν, ἣν ἀδελφὴν καλεῖτε·
διὰ τοῦτο ὑμᾶς ἐπείραξα ἵνα τὸ βέβαιον μάθω.
Ταύτης τὰ κάλλη φλέγουν με, τὰ δάκρυα δαπανοῦν με·
τοῖς δάκρυσιν οὐ παύεται περὶ ὑμῶν θρηνοῦσα·
ἀπάρτι ἐξαγορεύομαι καὶ τὴν ἀλήθειαν λέγω,
ἐὰν μὲ καταξιόνητε νὰ μ' ἔχετε γαμβρόν σας
ὡς διὰ τὰ κάλλη τὰ πολλὰ τὰ ἔχει ἡ εὐγενίδα,
ν' ἀρνήσωμαι τὴν πίστιν μου, νὰ ἔλθω εἰς Ῥωμανίαν·
μάθετε καὶ τὸ βέβαιον καὶ τὴν ἀλήθειαν ταύτην,
οὐ φίλημα μοὶ δέδωκε, μὰ τὸν λαμπρὸν Προφήτην,
μόνον στενάζει δι' ὑμᾶς, ἡμέρας τε καὶ νύκτας.
Εἰσέλθετε εἰς τὴν τέντα μου, κ' ἐκεῖ νὰ τὴν εὕρητε».
Ἐκεῖνοι δὲ ὡς ἤκουσαν, μετὰ περιχαρείας
τὴν τένταν ἀνεσήκωσαν καὶ ἔνδοθεν εἰσῆλθον,
καὶ εὗρον κλίνην πάντερπνον, γύρωθεν χρυσωμένην,
κειμένην οὖσαν εἰς τὴν γῆν, κατέβρεξαν, ἐκ τῶν πολλῶν [δακρύων,
ἀπὸ καρδίας βρύγματος τῆς ἀπληρώτου λύπης.
Ὡς οὖν εἶδε τοὺς ἀδελφοὺς ἄφνω ἐλθόντας οὕτως,

καὶ ὡς λειποθυμήσαντας ἐκ τῆς ἀμέτρου λύπης,
ἀνέστη αὖθις ἐξ αὐτῆς καὶ πρὸς ἐκείνους ἦλθε,
καὶ τούτους μετ' ἐκπλήξεως ἕκαστον κατεφίλει.
Ἡ ἀπροσδόκητος χαρά, ἐλθοῦσα παρ' ἐλπίδα,
ὁμοίως φέρει δάκρυα θλίψεών τε καὶ πόνων.
Ὡς γὰρ αὐτοὺς ἠσπάζετο μετὰ περιχαρείας,
δάκρυα περιεβάλλοντο, θρῆνον ποιοῦντες μέγα·
ἔλεγον λόγους πενθικοὺς οἱ νέοι πρὸς τὴν κόρην·
«ζῇς, αἰχμάλωτε ἀδελφή, ψυχὴ ἡμῶν φιλτάτη;
ἡμεῖς θανοῦσάν σε εἴχομεν καὶ σπαθοκοπημένην
μίαν σε ὑπολαμβάνοντες εἶναί σε τῶν θανόντων.
ἀλλὰ τὰ κάλλη ζῶσάν σε ἐτήρησαν ἀδελφήν (μας),
οἶδε γὰρ κάλλος ἄπειρον τὴν λύπην νὰ πραΰνῃ,
καὶ φείδονται πολέμιοι νεότητος καὶ κάλλους».
Εἶθ' οὕτως βεβαιώσαντες τὸν Ἀμηρᾶν μεθ' ὅρκου
γαμβρὸν νὰ τὸν ἐπάρωσιν, νὰ ἔλθῃ εἰς Ῥωμανίαν,
ἐδώκασι τὰς σάλπιγγας, ὑπέστρεψαν εὐθέως·
ἅπαντες ἐξεπλήττοντο, ἔλεγον πρὸς ἀλλήλους·
«Ὦ θαύματα βλέπομεν, δύναμιν τῶν ἐρώτων,
πῶς αἰχμαλώτους ῥύεται, φουσάτα παραλύει,
πίστιν ἀρνεῖσθαι πείθουσαν, θάνατον μὴ πτοεῖσθαι!»
Καὶ ἀκουστὸν ἐγένετο εἰς ἅπαντα τὸν κόσμον,
ὅτι κοράσιον εὔμορφον, μὲ τὰ τερπνά της κάλλη,
φουσάτα ἐκατέλυσε περίφημα τῆς Συρίας.
Ἐπεὶ δὲ ὅρκους ἔδωκαν γαμβρὸν νὰ τὸν ἐπάρουν,
ἀπῆρε τοὺς ἀγούρους του ὁ Ἀμηρᾶς εὐθέως·
εἰς Ῥωμανιὰν ὑπέστρεψεν ἅμα μετὰ τῆς κόρης,
καί, ὅτε ἐκατέλαβον τὰ μέρη Ῥωμανίας,
ἐλευθεροῖ ὁ Ἀμηρᾶς πάντας τοὺς αἰχμαλώτους,

ἑκάστῳ δοὺς ἐφόδια πρὸς τὴν ὁδὸν ἀρκοῦντα.
Οἱ δὲ τῆς κόρης ἀδελφοὶ πρὸς τὴν μητέρα γράφουν
τῆς ἀδελφῆς τὴν ἔλευσιν, τοῦ Ἀμηρᾶ τὸν πόθον,
δι' οὗ πατρίδ' ἠρνήσατο καὶ συγγενεῖς καὶ φίλους.
«Μήτηρ ἡμῶν, μηδέ τινα θλίψιν μήθ' ὅλως ἔχῃς·
ἔχεις γαμβρὸν ὃν θέλομεν πάγκαλον καὶ ὡραῖον·
τὰς χρείας οὖν ἑτοίμασον ἁπάσας τὰς τοῦ γάμου».
Ἡ δὲ τοῦτο ἀκούσασα Χριστῷ προσηυχαρίστει·
«δόξα, Χριστέ μου, λέγουσα, τῇ σῇ φιλανθρωπίᾳ,
δόξα τῇ δυναστείᾳ σου, ἐλπὶς τῶν ἀνελπίστων·
ὅσα γὰρ θέλεις δύνασαι, οὐδὲν ἀδυνατεῖ σοι.
Αὐτὸς γὰρ τὸν πολέμιον ἥμερον ἀπειργάσω
καὶ θυγατέραν τὴν ἐμὴν αἰχμαλωσίας ῥύσας.
Ὦ θύγατερ παμπόθητε, φῶς τῶν ἐμῶν ὀμμάτων,
πότε σε ζῶσαν ὄψομαι, φωνῆς σου δ' αὖ ἀκούσω;
Ἰδοὺ τὰς χρείας γάμου σου καλλίστως εὐπρεπίζω,
ἦν ὁ νυμφίος ἔσται σοι παρόμοιος τοῦ κάλλους,
ἦν ἔχῃ ἕξιν γνωμικὴν τῶν εὐγενῶν Ῥωμαίων!
φοβοῦμαι, τέκνον μου καλόν, μὴ ἄστερνος ὑπάρχῃ,
καὶ θυμωθῇ ὡς ἐθνικὸς καὶ ζῆν σε οὐ προκρίνῃ!»
Καὶ ταῦτα ἡ στρατήγισσα χαίρουσα ἐμελῴδει·
εἰς δὲ τὸν οἶκον φθάσαντες τὸν ἴδιον, ὃν εἶχεν
καὶ τῷ θείῳ βαπτίσματι τῆς θείας κολυμβήθρας
τὸν γαμβρὸν τελειώσαντες ἐποίησαν τὸν γάμον.
Ὁ δ' ἀμηρᾶς, οἱ σὺν αὐτῷ, καὶ οἱ ἀδελφοὶ τῆς κόρης,
χαίροντες ἅμα τῆς ὁδοῦ ἤρχοντο μετὰ μόχθου·
ἡνίκα δὲ ἐπλησίασαν ἐγγὺς τὸν οἶκον τούτων,
λαὸς πολὺς καὶ συγγενεῖς ἦλθον προσυπαντῆσαι,
ὡσαύτως ἡ στρατήγισσα μετὰ μεγάλης δόξης·

τὴν δὲ χαρὰν τὴν ἄπειρον τὴν τότε γινομένην
τίς λόγος φράσαι δυνηθῇ ἢ ὅλως ἐξεικάσαι;
Τὰ τέκνα γὰρ ἠσπάζοντο μητέρα μετὰ πόθου,
ἡ μήτηρ δὲ εὐφραίνετο αὖθις μετὰ τῶν τέκνων,
ὡς πληρωθῆναι τοῦ Δαβὶδ τὸ λόγιον ἐκεῖνο,
τὸ «συνευφραινομένην γε μητέρα ἐπὶ τέκνοις».
Ἰδοῦσα δὲ καὶ τὸν γαμβρὸν περικαλλῆ τῷ εἴδει,
χάριν Θεῷ προσέπεμπεν ἐξ ὅλης τῆς καρδίας,
«Χριστὲ Θεέ μου, λέγουσα, φῶς, ὁ εἰς σὲ πιστεύων
οὐ καταισχύνεταί ποτε τῶν ἐπιθυμουμένων».

## Διγενοῦς λόγος τρίτος.

Ἡ μήτηρ δὲ τοῦ Ἀμηρᾶ, ἡ τοῦ Ἀκρίτου μάμμη,
ὡς εἰς ἀλήθειαν ἔμαθε τὰ κατ' αὐτῆς υἱοῦ τε,
ἀπὸ Συρίαν ἔστειλε γραφὴν αὐτὸν τοιαύτην
θρήνων μεστὴν ὑπάρχουσαν, ὀνειδισμῶν καὶ πόνων,
τῆς δὲ τοιαύτης τε γραφῆς ἦσαν οἱ στίχοι οὗτοι·
«ὦ τέκνον μου παμπόθητον, μητρὸς παρηγορία,
πῶς ἐχωρίσθης ἀπ' ἐμοῦ, ὡς οὐκ ἤλπιζον, τέκνον;
ἐτύφλωσας τοὺς ὀφθαλμοὺς καὶ ἔσβεσας τὸ φῶς μου·
πῶς ἀπηρνήσω συγγενεῖς, ἐμὲ καὶ τὴν πατρίδα,
καὶ ἐγενόμην ὄνειδος εἰς ὅλην τὴν Συρίαν;
γεγόναμεν καὶ βδελυκτοὶ παρ' ὅλων τῶν ἀνθρώπων,
ὡς ἀρνηταὶ τῆς πίστεως καὶ παραβάται νόμου,
ὡς μὴ φυλάξαντες καλῶς τοὺς νόμους τῆς πατρίδος.
Τί τὸ συμβάν σοι, τέκνον μου, καὶ πῶς με ἐπελάθου;
καὶ πῶς οὐκ ἐμνημόνευσας τὰς πράξεις τοῦ πατρός σου,
πόσους Ῥωμαίους κατέσφαξε καὶ πόσους δούλους εἶχεν;

οὐ φυλακὰς ἐγέμισε τοπάρχας ἀνδρειωμένους;
οὐ θέματα ἐκούρσευσε πολλὰ τῆς Ῥωμανίας;
μὴ ἐπλανήθη ὥσπερ σὺ γενέσθαι παραβάτης;
ὅταν δ' ἐκύκλωσαν αὐτὸν φουσάτα τῶν Ῥωμαίων,
οἱ στρατηγοὶ τὸν ὤμνυον φρικωδεστάτους ὅρκους·
« πατρίκιος νὰ τιμηθῇς παρὰ τοῦ βασιλέως,
νὰ γένῃς δὲ καὶ στρατηγός, ἂν ῥίψῃς τὸ σπαθίν σου ! »
Ἀλλὰ φυλάσσων πρόσταγμα κἀκεῖνος τῆς Πατρίδος,
δόξης ἐκατεφρόνησε, τοῦ πλούτου ὑπερεῖδε,
καὶ μεληδὸν ἐκόπτετο μὴ ῥίπτων τὸ σπαθίον.
Αὐτὸς δ' ἀνάγκην μὴ ἰδών, τὸν νόμον ὑπερεῖδες,
τῆς πίστεως, τῶν συγγενῶν, ἐμῆς γε τῆς μητρός σου.
Ὁ δὲ Μουσοὺρ ὁ θεῖός σου, ἐκεῖνος ὁ Ταρσίτης,
τὴν Σμύρνην ἐταξείδευσε τὴν παραθαλασσίαν,
τὴν Ἄγκυραν ἐκούρσευσε, τὴν Ἀκινὰν τὴν πόλιν,
τὴν Ἀφρικήν, τὴν Τερεντήν, καὶ τὴν Ἑπτακωμίαν,
καὶ ταῦτα τροπωσάμενος ἐστράφη εἰς Συρίαν.
Καὶ σύ, ὦ δυστυχέστατε, ἐποίησας ταξεῖδιν,
καί, ὅταν γενέσθαι βασιλεὺς ἔμελλες τῆς Συρίας,
διὰ πόθον χαριντζίρισσας, καὶ γοητείας μάγης,
τὸν ἑαυτόν σου ἀπώλεσας ἀχρειωθεὶς τελείως,
γέγονες δὲ κατάρατος εἰς ἅπαντα τὸν κόσμον·
πλὴν εἰ μὴ παραγίνεσαι τάχιον εἰς Συρίαν,
οἱ Ἀραβῖται βούλονται ἐμὲ τοῦ θανατῶσαι,
νὰ σφάξωσι τὰ τέκνα σου πατρὸς ὡς ἀπιστοῦντος,
σοῦ τὰ τερπνὰ κοράσια ἄλλοις παραδοθῆναι,
ἃ διὰ σὲ στενάζουσιν ἡμέρας τε καὶ νύκτας·
ναί, τέκνον μου γλυκύτατον, οἴκτειρον σὴν μητέρα,
μὴ καταγάγῃς γῆράς μου εἰς ᾅδην μετὰ λύπης·

μὴ βουληθῇς τὰ τέκνα σου ἀδίκως τοῦ σφαγῆναι,
μηδὲ τὰ σὰ κοράσια ἄλλοις παραδοθῆναι·
καὶ ὁ Θεὸς χαώσει σε ζῶντα ἀπὸ τοῦ κόσμου·
ἔστειλα δέ σοί, ὡς ὁρᾷς, ἐπίλεκτα φαρία,
τὸ βάδιον[1] καβαλλίκευε καὶ τὸ δαγάλλιν[2] σῦρε·
τὸν μαῦρον μετὰ προσοχῆς ἐὰν καβαλλικεύσῃς,
ὡς ἀετὸς ἀνίπταται, τίς ποτε οὐ μή σε φθάσῃ·
ἔπαρον καὶ τὴν κόρην σου, διὰ νὰ μὴ λυπῆσαι,
εἰ δὲ καὶ μείνῃς ἀπειθής, εἶσαι κατηραμένος!»
Λαβόντες δὲ τὰ γράμματα οἱ ἐκλεκτοὶ Ἀραβῖται,
πρόβοδον ἔχοντες καλὸν Ῥωμαῖον παιδευμένον,
εἰς Ῥωμανίαν ἔφθασαν συντόμως μετὰ πόθου·
ἦν δὲ τοῦ οἴκου πόρρωθεν τόπος ἡ Λευκοπέτρα,
κἀκεῖθεν ἀπληκεύσασι, νὰ μὴ φανερωθῶσιν.
Ἔστειλαν δὲ τὸν Ἀμηρᾶν γραφήν τε κατ' ἰδίαν,
καὶ οὕτως αὐτὸν ἐδήλωσαν διὰ τοῦ πιττακοφόρου·
«τὸ φέγγος φέγγει ὁλονυκτὶ καί, ἂν βούλει, πορευθῶμεν!»
Καί, ὡς ἤκουσε τὰ γράμματα, ἐθλίβη ἡ ψυχή του
καὶ ἡ καρδία του τιτρώσκεται, ἠλέησε τὴν μητέρα,
καὶ τέκνα κατηλέησε καὶ τὰς αὐτῶν μητέρας,
ζῆλος ἀνῆψεν εἰς αὐτὸν διάπυρος καὶ μέγας
πῶς μέλλουσι παραλαβεῖν ἄλλοι τὰ τέκνα τούτου,
καὶ πόλεις καὶ τὰς χώρας του ἔδακνεν ἡ ψυχή του.
Οὐ γάρ ποτε λανθάνεται ἀρχαιότερος πόθος,
τοῦτον δὲ κατημαύρωσε τῆς κόρης ἡ ἀγάπη,
πόνος γὰρ ὁ σφοδρότερος ἀμαυροῖ τὸν ἐλάσσω.
Καὶ ἵστατο κατανοῶν τί ἄρα διαπράξει.

(1) Βάδιον καστανόχροον. (2) Κόκκινον.

Καὶ ὡς λέων ὠρυόμενος ἐμβαίνει εἰς τὸ κουβοῦκλιν,
τὴν κόρην συμβουλεύεται, οὕτως τὴν συντυχαίνει·
«κόρη μου, μυστικόν τινα λόγον θέλω εἰπεῖν σοι·
θλῖψιν ἔχω ἀφόρητον ἔνδοθεν τῆς καρδίας,
ἀλλὰ φοβοῦμαι, πάντερπνε, οὐκ ἀρεστὸν φανῇ σοι·
ἰδοὺ καιρὸς ἐφέστηκε τὸ βέβαιον μαθεῖν με,
εἴπερ ἀγάπην καθαρὰν κέκτησαι πρός με, κόρη,
ἰδοὺ γὰρ εἰς περίστασιν φιλίας δοκιμάζω».
Ἡ δὲ ταῦτα ἀκούσασα ἐτρώθη τῇ καρδίᾳ,
καὶ μεγάλως στενάξασα πρὸς αὐτὸν οὕτως ἔφη·
«ὦ ἄνερ μου γλυκύτατε, φῶς τῶν ἐμῶν ὀμμάτων,
πότε σου λόγον ἤκουσα οὐκ ἀρεστόν μοι εἶναι;
ποία δέ γε περίστασις χωρίσει με τοῦ πόθου;
ἐὰν δέῃ μ' ἀποθανεῖν, οὐκ ἀπαρνήσομαί σοι».
Οὐ πρὸς θάνατον, φίλτατε, ὁ Ἀμηρᾶς ἀντέφη,
οὐκ ἔστιν ὡς ὑπέλαβες, μὴ γένοιτο, ψυχή μου.
Ἀλλὰ ἡ μήτηρ μου γραφὴν ἔστειλ' ἀπὸ Συρίας,
ὅτι κίνδυνον ἔχουσιν καὶ ἀπελθεῖν ἐθέλω·
καὶ ἀγούρους ἀπέστειλε μετ' ἵππων ἐπιλέκτων,
διὰ νά με ἐπάρωσι νὰ ἔλθω πρὸς ἐκείνην.
Εἰ βούλει σύ, κυρία μου, σὺν ἐμοὶ πορευθῆναι
πρὸς τὴν Συρίαν τὴν τερπνήν, ἴδωμεν τὴν μητέρα,
καὶ πάλιν νὰ ὑποστρέψωμεν μετὰ χαρᾶς ἐνταῦθα·
οὐ χωρισθῆναι θέλω σου οὐδὲ κἂν μίαν ὥραν».
Ταῦτα ἡ κόρη ὡς ἤκουσε βαρέα ἀναστενάζει,
καὶ δάκρυα ἐστάλαξεν, ὁ νοῦς της ἐχαώθη·
καὶ παρευθὺς ἠθέλησε λέξαι τοῖς ἀδελφοῖς της
τὴν βούλησιν τοῦ Ἀμηρᾶ, πῶς ἀπελθεῖν ἐθέλει.
Καὶ πάλιν περικόπτεται, διὰ ταραχὰς καὶ μάχας,

μὴ φανερώσῃ τὰ κρυπτὰ μυστήρια κάλου της·
μᾶλλον καὶ ὑπεσχέθηκεν ἀπελθεῖν μετ' ἐκείνου,
καὶ εἶπεν οὕτως πρὸς αὐτόν· «μετὰ χαρᾶς, αὐθέντα,
ὅπου κελεύεις ἔρχομαι, ὅπου θέλεις ὑπάγω».
Αὐτὸς δ' ὅλως οὐκ ἤθελε προσκαρτερεῖν ἐκεῖσε,
ἀλλὰ ταχὺ ἐβούλετο ἐλθεῖν πρὸς τὴν μητέρα,
ἰδεῖν τέκνα τὰ ἴδια, ἰδεῖν καὶ τὰς μητέρας
αὐτῶν τὰς λίαν ποθητάς, ἰδεῖν καὶ τοὺς οἰκείους
φίλους ὁμοῦ καὶ συγγενεῖς, οἰκείους καὶ πατρίδα·
καί, μετὰ τὸ ἰδεῖν αὐτοὺς καὶ ὁμιλῆσαι τούτοις,
πάλιν ἐβούλετο ἐλθεῖν, μετὰ καὶ τῶν οἰκείων,
πρὸς τὴν ἰδίαν σύζυγον, τὴν βασιλέως κόρην,
τὴν ἄγαν χαριτόβρυτον, ἐκείνην τὴν ὡραίαν.
Τοιαύτας οὖν ὁ Ἀμηρᾶς βουλὰς προσεπενόει
ἐν τῷ ἰδίῳ λογισμῷ, καὶ φανερῶς οὐδόλως
ἐπιγνωρίσαι ἠθέλησε τὴν γραφὴν τῆς μητρός του,
καὶ τὴν ἐξέλευσιν αὐτοῦ πῶς ἀπελθεῖν ἐθέλει.
Θεὸς δέ, τὸ παράδοξον θαυματουργῶν ὡς κτίστης,
καὶ τὰ κρύφια βουλεύματα κατ' ὄναρ διαλύει.
Καὶ γὰρ ὁ μικρὸς ἀδελφὸς κατ' ὄναρ εἶδε ταῦτα·
μετὰ σκοτιᾶς ἐγείρεται, λέγει τοῖς ἀδελφοῖς του·
«ὅραμα εἶδον, ἀδελφοί, ἐν ταύτῃ τῇ ἑσπέρᾳ,
ἱερακές μοι ἐφάνησαν ἐπὶ Λευκῆς τῆς Πέτρας,
καὶ ἀετὸς χρυσόπτερος, περιστερὰν διώκων
ἄσπρην καθάπερ χιόνα, κ' ἐσέβη 'ς τὸ κουβοῦκλιν
ἐν ᾧ κοιμᾶται ὁ γαμβρὸς μετὰ τῆς ἀδελφῆς μας
κἀγὼ δὲ ἐξεπήδησα συντόμως νὰ τὸν λάβω,
καὶ ἁπλώσας τὰς χεῖράς μου λαμβάνω καὶ τοὺς δύο,
καὶ ἐκ σπουδῆς μου τῆς πολλῆς ἔξυπνος ἐγενόμην».

Καὶ τότ' ὁ πρῶτος ἀδελφός, αὐτὸς ὁ Κωνσταντῖνος,
οὕτως ἀνταπεκρίθηκε, τὸν ὄνειρον δηλόνων·
«ἱέρακες οὓς ἔβλεπες εἰσὶν ἅρπαγες ἄνδρες,
καὶ ἀετὸν ὃν ἔβλεπες δοκεῖ ὁ γαμβρός μας ἔνι,
καὶ περιστερὰν ἣν ἔβλεπες ἐστὶν ἡ ἀδελφή μας,
καὶ θεωρεῖτε, βέλτιστοι, μὴ τὴν κακοποιήσῃ·
ἀλλ' ἂς καβαλλικεύσωμεν, καὶ ἂς περιγυρισθῶμεν
ἔνθα εἶδες τὸν ὄνειρον μετὰ τῶν ἱεράκων».
Οἱ πέντε καβαλλίκευσαν, 'ς τὴν Λευκοπέτραν ἦλθον,
τοὺς 'Αραβίτας εὕρησαν, ἔκβασιν τῶν ὀνείρων,
ὅμως τοιάδα πρὸς αὐτοὺς γελῶντες τοὺς ἐλάλουν·
«καλῶς ἤλθετε, ἄρχοντες ἱέρακες γαμβροῦ μας·
τί ὧδε ἐπεζεύσατε, οὐκ ἤλθατε εἰς οἶκον;»
'Εκεῖνοι δέ, μὴ ἔχοντες τί ἀνταποκριθῆναι,
ἄκοντες, μὴ βουλόμενοι, τὴν ἀλήθειαν λέγουν·
(φόβος γὰρ ἀπροσδόκητος ἀλήθειαν ἐκφαίνει,
ὁ δέ γε προσδοκώμενος γεννᾷ ἀπολογίαν.)
«'Εχθὲς παρεβραδύναμεν καὶ ἐμείναμεν ὧδε».
Οὓς παρευθὺς λαβόμενοι εἰς τὸν 'Αμηρᾶν ἦλθον,
κατονειδίζοντες αὐτόν, ὡς τὸ δίκαιον εἶχεν,
εἰρωνικὰ ἐφθέγξαντο τοιάδε πρὸς ἐκεῖνον.
«Ὦ 'Αμηρᾶ, τοιαύτας σὺ τὰς γνώμας ὑπεσχέθης,
βουλόμενος ἐσύστερον ἡμᾶς χωρίσαι ταύτης
τῆς ἀδελφῆς τῆς ποθητῆς, τῆς πανωραιοτάτης;
'Ιδοὺ φαρία σοι ἔστειλαν ἐπίλεκτα, δρομαῖα,
ἀγένεια παλληκάρια ἀπὸ τῶν 'Αραβίτων·
καὶ εἰ τοιαῦτα βούλοιο καὶ μελετᾷς ποιῆσαι
ὥστε κρυφίως φεύξασθαι ἀπὸ τῆς 'Ρωμανίας,
τὴν ἀδελφήν μας ἄφησον, τὸν παῖδά σου κατάθου·

ἡμεῖς αὐτὸν ἐκθρέψομεν, Θεὸς ἔκδικος ἔστω!
Σὺ δέ, φίλε ἡμῶν γαμβρέ, καὶ πρῶτε τῆς Συρίας,
κεῖνα λαβὼν ἃ ἔφερες, πορεύου ἔνθα βούλει».
Ταῦτα δ' ἀκούσας ὁ 'Αμηρᾶς, ὁρῶν καὶ τοὺς ἐλέγχους,
φωνῆσαι μὴ δυνάμενος ἢ ἀντειπεῖν ἰσχύσας,
αἰσχύνης, φόβου, θλίψεως ἀνάπλεως τυγχάνει,
αἰσχύνης προσδοκώμενος, ὡς ξένος τε τυγχάνων,
καὶ δεδοικὼς ἐξίστατο ἄφωνος παρὰ πάντας,
ἔχων τε λύπην ἄπειρον τὸν χωρισμὸν τῆς κόρης.
Λαβὼν δὲ τὴν ὁμόζυγον ἐμβαίνει εἰς τὸ κουβοῦκλιν,
ὑπέλαβε δὲ δι' αὐτῆς ἡ πρᾶξις γνωρισθῆναι·
οὐ γὰρ ἐγίνωσκε λοιπὸν ὅτι Θεὸς κατ' ὄναρ
ἐδήλωσε τοῖς ἀδελφοῖς τὴν κρυπτομένην πρᾶξιν·
καὶ λέγει· «πῶς ἐποίησας τοῦτο;» μετὰ δακρύων,
«τοιαῦτα πράττουσιν οὐκοῦν οἱ εὐγενεῖς, φιλτάτη;
οὐ πᾶσαν γάρ μου τὴν βουλὴν σοὶ ἀνεθέμην μόνῃ;
οὐχ ὑπεσχέθης μοι ἐλθεῖν μετὰ περιχαρείας;
μή σε ἠνάγκασα ἐγώ, μή σε ἐβιασάμην;
μᾶλλον δὲ παρεκάλεσα ἔχειν σε συνοδίαν,
καὶ μετὰ σοῦ συγχαίρεσθαι, καὶ πάλιν ὑποστρέψαι.
Σὺ δέ, μὴ ἔχουσα Θεοῦ φόβον πρὸ ὀφθαλμῶν σου,
τοὺς ἀδελφούς σου ἀνήγγειλας, βούλονταί με φονεῦσαι·
οὐ μνημονεύεις ἐξ ἀρχῆς τί μετὰ σοῦ ἐγεγόνει;
ὅμως εἰς λήθην ἔρριψας ὅσα εὐεργετήθης·
αἰχμάλωτόν σε ἐκράτησα, καὶ αὐθέντρια ἐγεγόνεις,
δούλην ἀπῆρά σε ἐκ τῶν σῶν καὶ ὡς δοῦλός σου ἐγενόμην,
ἃ ἤθελες ἐγένοντο, καὶ ὁ πόθος σου ἐπληροῦτο·
δέσμιόν με ἐκράτησας, ὡς σὺ τοῦτο γινώσκεις·
διὰ τὴν ἀγάπην γὰρ τὴν σὴν ἦλθον εἰς 'Ρωμανίαν,

γονεῖς τε καὶ τὴν πίστιν μου ὡς διὰ σὲ ἠρνήσθην,
σὺ δὲ θανάτῳ ἀντ' αὐτῶν ἐπροξένησάς μοι.
Βλέπε καλῶς μὴ παραβῇς τοὺς ἐν τῷ μέσῳ ὅρκους,
τὸν ἔρωτα μὴ ἀρνησθῇς ὃν ἔχομεν οἱ δύο·
εἰ δὲ παραπικράνεις με καὶ τὴν ψυχήν μου θλίψεις,
πάντως νὰ σύρω τὸ σπαθὶν νὰ σφαγῶ, ἢ νὰ σφάξω!
(ἄνδρας γὰρ κτείνει ὁ πόλεμος, τοὺς δὲ δειλοὺς ἡ νόσος),
καὶ σὲ τὰ εὐγενικόπουλα πάντοτε λοιδοροῦσιν,
ὡς μὴ φυλάξασαν ἀνδρὸς μυστήρια, φιλτάτη·
ὃν εἶχες γὰρ ἀνασασμὸν καὶ παρηγόρημά σου,
ἀδίκως θανατώσουσιν οἱ ἀδελφοί σου, κόρη.
Ὡς τὸν Σαμψὼν ἡ Δαλιδὰ παρέδωκε σφαγῆναι,
οὕτω καὶ σὺ τὸν φίλτατον καὶ περιπόθητόν σου!»
Ταῦτα εἰπὼν ὁ ἀμηρᾶς τῇ κόρῃ μετὰ πόνου,
αὐτὴν γὰρ ὑπελάμβανε βουλὴν αὐτοῦ εἰπεῖν τε·
ὁ ἔρως γὰρ ἀτιμασθεὶς κακολογίας φέρει.
Ἡ κόρη ταῦτα ὡς ἤκουσεν, ἄφωνος ἱσταμένη
καὶ ἡσυχάζουσα λαμπρῶς ἐπὶ πολλὰς τὰς ὥρας.
Πᾶς γὰρ ὁ πταίων ἕτοιμον ἀπολογίαν ἔχει,
ὁ δὲ μὴ πταίων τὴν σιγὴν ἔχει τοῦ μὴ λαλῆσαι.
Μόλις δὲ τὸ κοράσιον εἰς ἑαυτὴν ἐλθοῦσα
ἔφησε ταῦτα πρὸς αὐτὸν μετὰ πολλῶν δακρύων·
«οὐκ ἔστι τοῦτο, αὐθέντα μου, βουλήν σου φανερῶσαι·
εἰ γὰρ αὐτὸ πεποίηκα πυρίκαυστος γενοίμην,
παράδειγμα ἐν τοῖς λοιποῖς πᾶσι τοῖς ἐν τῷ κόσμῳ,
ὡς τοῦ ἀνδρὸς μυστήρια κατάδηλα ποιοῦσα».
Βλέπουσα γὰρ τὸν Ἀμηρᾶν αὐξάνοντα τὴν λύπην
παράφρονα γενόμενον ἐκ τῶν πολλῶν δακρύων
(τὸ γὰρ πολὺ τῆς θλίψεως γεννᾷ παραφροσύνην),

ἐντεῦθεν καὶ παράλογα τινὰ κατατολμᾶται,
μήπως καὶ γὰρ τὴν ἑαυτὴν τῷ ξίφει ἀναλώσῃ,
ἐξῆλθε πρὸς τοὺς ἀδελφοὺς βοῶσα, τρυχωμένη·
«ὦ ἀδελφοὶ γλυκύτατοι, τί μάτην ἐνοχλεῖτε
τὸν μήπω ἀδικήσαντα; ἰδοὺ γὰρ ἀποθνήσκει!
καὶ ἀναιρεῖ τὸν ἑαυτὸν ἀπὸ παραπληξίας.
Διὰ τὸν Θεόν, καλοὶ ἀδελφοί, μὴ ἀποθάνῃ ἀδίκως,
ὃς δι' ἐμὲ ἠρνήσατο γένος καὶ τὴν πατρίδα·
οὐ γάρ ποτε οὖν κατ' ἐμοῦ κακόν τι ἐβουλήθη·
ἀρτίως δὲ φοβούμενος μητρὸς αὐτοῦ κατάραν
εἰς τὴν Συριὰν ἀπέρχεται συντόμως ἐπιστρέψαι·
ἐξεῖπε γάρ με τὴν βουλήν, ἔδειξε καὶ τὸ γράμμα.
Καὶ πῶς ὑμεῖς πτοούμενοι τὴν μητρικὴν κατάραν,
μόνοι κατετολμήσατε ἐλθεῖν εἰς μυριάδας,
καὶ πόλεμον συνάψαντες μέγιστον εἰς κλεισούρας,
μὴ φοβηθέντες θάνατον παρὰ μητρὸς κατάραν;
Ταύτην καὶ αὐτὸς οὖν δεδοικὼς βούλεται πορευθῆναι».
Καὶ ταῦτα μὲν πρὸς ἀδελφοὺς αὐτίκα προφωνοῦσα,
θερμὰ κινοῦσα δάκρυα, τίλλουσα καὶ τὰς χαίτας·
οἱ δέ, μὴ φέροντες ὁρᾶν θρηνοῦσαν τὴν φιλτάτην,
τοιούς δε λέγουσιν αὐτῇ λόγους παραμυθίας·
«σὲ πάντες ἔχομεν ψυχὴν καὶ θυμηδίαν μόνην,
καὶ τοῦτο ἀκρίβειαν ἔχομεν ἵνα κακὸν μὴ πάθῃς.
Ἐπεὶ δὲ βούλει καὶ αὐτὴ ὁδεύειν σὺν ἐκείνῳ,
Θεὸν ἂς δώσῃ μάρτυρα νὰ ὑποστρέψῃ πάλιν,
ἡμεῖς νὰ ὑπερευχώμεθα καλῶς κατευοδῶσθαι».
Καὶ παρευθὺς ἀμφότεροι εἰς τὸν γαμβρὸν ἀπῆλθον,
αἰτούμενοι συγχώρησιν τῶν πρώην λαληθέντων.
«Καὶ μὴ μνησθῇς ἡμῶν, γαμβρέ, ὅσα ἐξείπομέν σου,

οὐ γὰρ ἡμῶν τὸ αἴτιον, πάντως σόν ἐστι πταῖσμα
τοῦ μὴ γινώσκεσθαι ἡμᾶς ἅπερ ἠβούλου πρᾶξαι».
Καὶ εὐθὺς συνεχώρησεν, ἅπαντας κατεφίλει,
καί, στὰς ἐπὶ ἀνατολάς, χεῖρας εἰς ὕψος αἴρει.
«Χριστὲ Θεέ μου, ἐξεφώνησεν, υἱὲ Θεοῦ καὶ λόγε,
ὁ πρὸς τὸ φῶς ἑλκύσας με τῆς σῆς θεογνωσσίας,
καὶ σκότους λυτρωσάμενος καὶ τῆς ματαίας πλάνης, εἰ ἐπιλάθωμαι ποτὲ φιλτάτης γυναικός μου,
εἰ τοῦ τερπνοῦ ἀνθήματος υἱοῦ τοῦ ποθουμένου,
καὶ οὐχ ὑποστρέψω τάχιον εἰς τὴν ἡμῶν οἰκίαν,
βρῶμα θηρίων γένωμαι καὶ πετεινῶν εἰς ὄρη,
καὶ οὐ λογισθῶ εἰς χριστιανῶν τὴν ἐκλεκτὴν μερίδα».
Καὶ τότε ἤρξατο λοιπὸν τὰ τῆς ὁδοῦ φροντίζειν,
καὶ ἐκπληρώσας ἅπαντα δι' ἡμερῶν τῶν δέκα,
γνωστὴ πᾶσιν ἐγένετο ἐξέλευσις ἡ τούτου,
καὶ πᾶν τὸ πλῆθος ἔτρεχε τῶν συγγενῶν καὶ φίλων.
Καὶ ἦν ἰδεῖν τοὺς ἔρωτας φλογίζοντας καρδίας,
κρατήσας γὰρ ὁ Ἀμηρᾶς ἐκ τῆς χειρὸς τὴν κόρην
μόνος εἰσῆλθε μετ' αὐτῆς ἔνδον εἰς τὸ κουβοῦκλιν,
καὶ δάκρυα ἐκίνησεν ἐκ βάθους τῆς καρδίας
καὶ οἱ στεναγμοὶ ἀνέπεμπον ἤχους παρηλλαγμένους·
«δός μοι λόγον, γλυκύτατε, καὶ δός μοι δακτυλίδιν,
καλλίγνωμε, νὰ τὸ φορῶ ὥστε νὰ ὑποστρέψῳ!»
Στενάξας δὲ ἡ πανεύμορφος ἔλεγε πρὸς ἐκεῖνον·
«βλέπε, αὐθέντα μου χρυσέ, μὴ ὅρκους καταλύσῃς,
καὶ ἀποδώσει σοι Χριστὸς ὁ κρίνων δικαίως πάντας·
δίκαιος γὰρ κριτής ἐστιν, ἀποδιδοὺς ἑκάστῳ,
ἐν τῇ ἡμέρᾳ τῇ φρικτῇ δικαίως κατ' ἀξίαν».
Εἰ τοῦτο πράξω, φίλτατη, ὁ Ἀμηρᾶς ἀντέφη,

καὶ ἀθετήσω ἔρωτα ὃν εἴχομεν οἱ δύο,
ἢ θλίψω τὴν καρδίαν σου, ὦ πανωραιοτάτη,
ἀνταποδώσαι μοι Χριστός, ὁ κρίνων δικαιοσύνην!
γραφὴν γὰρ προσδεξάμενος μητρὸς ἀπὸ Συρίαν,
ἐτύπωσα τοῦ ἀπελθεῖν, φοβούμενος κατάραν,
πᾶσι γὰρ δίκαιον ἐστὶ γονεῖς μὴ παρακούειν ».
Ἐγένετο δὲ συμβουλὴ καὶ ἐν τῷ μέσῳ ὅρκος,
πάντες προέπεμψαν μετὰ χαρᾶς μεγάλης.
καὶ τραγῳδεῖν ἀπήρξατο, φθεγγόμενος τοιάδε.
« Νεώτεροί μοι ἀνδρίζεσθε, φαρία μὴ κατοκνεῖτε,
βροχάς, χειμῶνας, παγετοὺς ἀντ' οὐδενὸς ἡγεῖσθε».
Καὶ τότε ἐξεφώνησαν ἅπαντες ὁμοφώνως·
«ὕπαγε, αὐθέντα μας, καλῶς Θεὸς ἐνδυναμώσαι
ἡμᾶς δὲ ἀξιώσειεν ἰδεῖν σε διὰ τάχους,
Ταῦτα καὶ ἄλλα πλείονα τοῖς μετ' αὐτοῦ ἐλάλει
ὁ Ἀμηρᾶς ἐν τῇ ὁδῷ μὲ πόνον τῆς καρδίας·
οὕτω γὰρ φλέγει τοὺς αὐτὸν ὑπείκοντας ὁ ἔρως
ὡς πάντα μὲν καταφρονεῖν αὐτῷ δὲ προσενέχθαι.
Καὶ βλέποντες τὸ ἀντάλλαγμα τοῦ Ἀμηρᾶ οἱ δοῦλοι
εὐθὺς ἀνταποκρίνονται πρὸς αὐτὸν τὰ τοιαῦτα·
« ὅπου θέλεις γενέσθωσαν τὰ ἀπλίκια, αὐθέντα,
οὐ γὰρ εὑρήσεις ἀφ' ἡμῶν ἀφορμὴν ῥᾳθυμίας».
Τρεῖς γὰρ διῆλθον τὰς μονὰς καθ' ἑκάστην ἡμέραν.
Καί, ὅτε ἐκατέλαβον εἰς τὰς δεινὰς κλεισούρας,
εὗρον λεόντα φοβερὸν τὴν ἔλαφον κρατοῦντα·
ὡς δὲ τοῦτον ἐσκέψαντο τοῦ Ἀμηρᾶ οἱ ἀγοῦροι,
ἅπαντες ἐπτοήθησαν κρυβέντες εἰς τὰ δάση·
καὶ λυπηθεὶς ὁ Ἀμηρᾶς πρὸς τὸν λέοντα εἶπεν·
«πῶς σύ γε κατετόλμησας, δεινότατον θηρίον,

καὶ παρεμπόδισας ὁδὸν ἐρωτικῆς φιλίας;
ἐγὼ δὲ τὴν ἀνταμοιβὴν ἀξίαν σοὶ παρέξω».
Καὶ ῥαβδέαν τὸν ἔκρουσεν ἄνω εἰς τὸ μετῶπιν,
νεκρὸς εὐθὺς ἐπέμεινεν εἰς γῆν ἐξηπλωμένος.
Καὶ παρευθὺς προσέειπε τοὺς ἑαυτοῦ ἀγούρους·
«ὀδόντας ἀνασπάσατε ἅπαντας τοῦ θηρίου,
ὁμοίως καὶ τοὺς ὄνυχας τοῦ δεξιοῦ ποδός του,
ἵνα φορέσωμεν αὐτοὺς τὸν ποθητὸν υἱόν μου,
τὸν Διγενῆ Καππάδοκα, Βασίλειον τὸν Ἀκρίτην,
ὅταν, Θεοῦ θελήματι, εἰς Ῥωμανιὰν ἔλθωμεν».
Καὶ πάλιν ἐπορεύοντο μετὰ σπουδῆς τὸν δρόμον,
ἀλλήλους προτρεπόμενοι τοῦ βαδίζειν προθύμως·
οὐδεὶς ἦν τούτων ῥᾴθυμος, οὐδεὶς μετέσχεν ὕπνου,
ἔρως ὑπῆρχεν εἰς αὐτοὺς οἷον οὐκ εἶδεν ἄλλος.
Ὅτε δὲ ἐπλησίασαν εἰς τοῦ Ῥουχᾶ[1] τὸ κάστρον,
ὁ Ἀμηρᾶς προσέταξε σκηνὰς ἔξωθεν στῆναι,
καὶ δύο ἐκ τῶν ἀγούρων του ἔπεμψεν εἰς τὸ κάστρον,
ὅπως εἴπωσι τῇ μητρὶ τὴν ἐπάνοδον τούτου·
καὶ πορευθέντες τάχιστα ἐποίησαν ὡς εἶπεν.
Ἡ μήτηρ δέ, ὡς ἔμαθε τὴν ἔλευσιν ἐκείνου,
τοῦ υἱοῦ της τοῦ Ἀμηρᾶ, τοῦ θαυμαστοῦ τοῦ ξένου,
οὐκ ἔστιν ὅστις ἐξειπῇ ἧς χαρμονῆς ἐπλήσθη·
μικροῦ γὰρ καὶ ὠρχήσατο ἀπὸ περιχαρείας,
ὡσαύτως καὶ οἱ συγγενεῖς καὶ οἱ γνήσιοι πάντες
ἐξῆλθοσαν μετὰ χαρᾶς εἰς ἀπάντησιν τούτου·
εὐθέως γὰρ ἐπέζευσαν καὶ τὸν ἐπροσεκύνουν,
φέροντες δάκρυα καὶ χαρὰν ὅθεν οὐ προσεδόκουν·

(1) Ἔδεσσα, πόλις Ἀσσυρίας.

καὶ πρὸς βραχὺ θρηνήσαντες χαρὰν εἶχον μεγάλην,
καὶ κατησπάζοντο αὐτὸν ἐκ πόθου ὥσπερ ξένον·
εἰς μέρος μὲν οἱ συγγενεῖς, εἰς ἄλλο δὲ ἡ μήτηρ,
περιπλεκόμενοι αὐτόν, συγχαίροντες ἀλλήλοις,
καὶ χωρισμὸν ὃν ἔλιπεν οὐδόλως μνημονεύουν·
ὅμως δὲ πάντες μετ᾽ αὐτοῦ ἦλθον εἰς τὰ οἰκεῖα,
καὶ τίς δύναται ἐξειπεῖν καὶ σαφηνίσαι πάντα
ἐκεῖνα τὰ γινόμενα ἐν ἐκείνῳ τῷ οἴκῳ;
οὐδ᾽ εἰ καρδίαν ἔχοιτο σιδήρεαν ἐκεῖνος
οὐδ᾽ εἴπερ δέκα στόματα καὶ δέκα γλώσσας ἔχει,
καὶ τὴν φωνήν του στερεάν, καὶ χάλκεον τὸ ἦτορ,
τὰ φαγητά, τοὺς πότους τε καὶ τοὺς χοροὺς ἐκείνους,
κιθάρας τε καὶ φόρμιγγας, σύριγγάς καὶ τυμπάνους;
ἀφοῦ δὲ πάντες ἔφαγον καὶ ἔπιον χαρέντες,
καὶ πάντων ἐκορέσθησαν τῶν ἡδέων ἐκείνων,
ἤρξατο τότε ἐρωτᾷν τὸν Ἀμηρᾶν ἡ μήτηρ·
«υἱέ μου ὦ παμφίλτατε, φῶς τῶν ἐμῶν ὀμμάτων,
καὶ παραμύθιον ψυχῆς τῆς ἐμῆς ἐν τῷ γήρει,
τὸ ἀγαλλίαμα ἐμόν, ἡ ἐμὴ θυμηδία,
τί τοσοῦτον ἐϐράδυνας, τέκνον εἰς Ῥωμανίαν;
Ἐγὼ γάρ, μὴ ὁρῶσά σε, φῶς οὐκ εἶχον καθόλου,
οὔτε βλέπειν τὸν ἥλιον, οὔτε ζῆν εἰς τὸν κόσμον.
Πάλιν, υἱέ μου, λέγω σοι, πῶς ἔχεις μετὰ κόρης
ἐκείνης τῆς φιλτάτης σου, ἐκείνης τῆς ὡραίας,
δι᾽ ἧς τὴν πίστιν ἄφηκες, δι᾽ ἧς καὶ τὴν πατρίδα,
δι᾽ ἧς καὶ τὴν γυναῖκά σου, δι᾽ ἧς καὶ τὰ σὰ τέκνα,
τοὺς συγγενεῖς καὶ φίλους σου ἅπαντας καταλείψας,
καὶ ἐπιλήσμων γέγονας ἁπάντων τῶν πραγμάτων,
καὶ ἀρχῆς κατεφρόνησας, καὶ πλούτου ὑπερεῖδες;

Πάντες δὲ σὲ ἐψήφιζον γενέσθαι βασιλέα,
Συρία δέ σε ἅπασα ἀνδρειωμένον εἶχεν,
καὶ σὺ τῆς τύχης σου, υἱέ, ἐμποδιστὴς ἐγένου,
διὰ Ῥωμαίας γὰρ μιᾶς ἀπώλεσας τὰ πάντα.
Καὶ τί τοῦτο πεποίηκας, τέκνον; οὐκ ἐφοβήθης
ἵνα μή σου οἱ χίλιοι στερήσουσιν ἐκ πάντων;
Ἐγώ, γλυκέα μῆτέρ μου, ὁ Ἀμηρᾶς ἀντέφη,
τῆς γραφῆς σου ὡς ἤκουσα καὶ φοβηθεὶς κατάραν,
παρευθὺς βουλὴν ἔλαβον, βουλὴν μετὰ τῆς κόρης,
εἴπερ θελήσει νὰ ἔλθωμεν ἐνθάδε μετ' ἐκείνης.
Ἐκεῖνοι δέ, οὐκ οἶδα πῶς οἱ γυναικάδελφοί μου
πῶς τὴν βουλὴν ἐμάθασιν, οὐκ οἶδα τίς τὴν εἶπεν,
ἴσως εἰ ὁ Θεὸς αὐτοῖς ἐπέδειξε κατ' ὄναρ,
διότι ἐγὼ ἠξεύρω το, ἡ κόρη δὲν τὸ εἶπεν,
ἀλλὰ πάντα μας τὰ κρυπτὰ ἔνδον της τὰ φυλάττει·
αὐτίκα τε μετὰ θυμοῦ καὶ μετ' ὀργῆς μεγάλης,
ἀπειλικῶς μ' ἐλέγξαντες, ἀγριωδῶς ἰδόντες,
καὶ εἴπασί μοι τὴν βουλήν, ἣν ἐγὼ κρυφῶς εἶχον·
καί, εἴπερ λόγον ἔλεγον ἐγὼ ἐκείνοις τότε,
σπαθία ἢ κοντάρια ἦλθον ἂν πρός μ' ἐδόκουν.
μόνον αἰσχύνης ἔμπλεως γενόμενος καὶ φόβου,
βλέπων καὶ τοὺς ἐλέγχους μου ἱστάμην μὴ φωνήσας.
Ἡ κόρη δ' ὡς τὸ ἤκουσε 'ς τοὺς ἀδελφοὺς ἐξῆλθε,
καὶ λέγει ταῦτα πρὸς αὐτούς· «ὦ ἀδελφοί μου φίλοι,
τὸν μήπω βλάψαντα ὑμᾶς μὴ μάτην ἐνοχλεῖτε·
ἰδοὺ γὰρ πάντες βλέπουσιν ὡς δι' ἐμὲ τὰ πάντα,
πίστιν, πατρίδ', ἠρνήσατο καὶ συγγενεῖς καὶ φίλους·
νῦν δὲ φοβούμενος μητρὸς τῆς ἑαυτοῦ κατάραν,
εἰς τὴν Συρίαν ἄπεισι ταχέως ἐπιστρέψαι».

Ταῦτα δ' ἡ κόρη λέγουσα καὶ δάκρυα ἐκίνει·
οἱ δὲ ἀδελφοί, μὴ φέροντες ὁρᾶν θρηνοῦσαν ταύτην,
ἅπαντες πρός με ἤλθοσαν ὁμοῦ μετὰ τῆς κόρης,
συγχώρησίν τ' ἐλάβομεν τῶν πρώην λαληθέντων.
Καὶ τότ' ἐγὼ συγχωρηθείς, καὶ τῆς χειρὸς κρατήσας
τὴν κόρην τὴν εὐγενικήν, ἠσπάσθημεν ἀλλήλους,
καὶ μετ' αὐτὴν τοὺς ἀδελφούς, καὶ τῆς ὁδοῦ ἠρξάμην».
Τούτους τοὺς λόγους ὁ 'Αμηρᾶς πρὸς πάντας ἐξηγεῖτο
ἐκείνους τοὺς καθεύδοντας ἐν τῇ λαμπρᾷ τραπέζῃ·
ὅτε δ' ἐχάρη ἅπαντας τοὺς συγγενεῖς καὶ φίλους,
εἶπε πρὸς τὴν μητέρα του τούςδε τοὺς λόγους πάλιν·
«ἐγώ, γλυκέα μῆτέρ μου, εἰς πολλὰς χώρας ἦλθον,
καὶ πολλὰ κάστρ' ἐπέρασα, καὶ γραφὰς οὐκ ὀλίγας
εἶδόν τε καὶ ἐπέρασα ἐν τῷ παρόντι βίῳ·
καὶ ἅπαντα ψευδά εἰσι καὶ ἄξια γελώτων,
μόνον δὲ τὰ τῶν χριστιανῶν ἀγαπῶ ἐκ ψυχῆς μου,
καὶ ὁ παράδεισος αὐτὸς εἰς 'Ρωμανίαν ἔνι·
τὴν πίστιν τὴν ἀληθινὴν οἱ χριστιανοὶ ἔχουν,
καὶ εἴ τις θέλει ἔρχεσθαι εἰς τὴν ὁδὸν τὴν ἴσην,
ἀκολουθείτω σὺν ἐμοὶ νὰ ἔλθωμεν εἰς ταύτην!
εἴ τις δὲ οὐ θελήσειεν ἰδεῖν ἐκείνην πάντως,
μενέτω σὺν τοῖς ἅπασι ἐνθάδε εἰς τὸ σκότος
σέβας γὰρ τῶν Παυλικανῶν ἐν ἀκριβείᾳ γινώσκω,
τοῦτο τοῦ σκότους ἄξιον καὶ πάσης ἀπωλείας·
ἡνίκα δὲ ηὐδόκησεν υἱὸς ὁ τοῦ 'Υψίστου
ἑκουσίως γε δι' ἐμὲ πτωχείαν ὑπομεῖναι,
ἠθέλησεν, ἐφόρησεν ἀσθένειαν ἀνθρώπων,
κἀμὲ τοῦ ψεύδους ἥρπασε δεινῆς τε τῆς ἀπάτης,
καὶ τοῦ λουτροῦ ἠξίωσε τῆς παλιγγενεσίας·

διὰ τοῦτο κατήργησα τοὺς λήρους καὶ τοὺς μύθους,
οἳ πρόξενοι ἐγένοντο πυρὸς τοῦ αἰωνίου·
οἱ γὰρ τοιαῦτα σέβοντες εἰς κόλασιν τυγχάνουν,
καὶ εἰς ἀεὶ καὶ πάντοτε μεγάλως τιμωροῦνται.
« Ἐγὼ δὲ πιστεύω εἰς Θεόν, πατέρα τῶν ἁπάντων,
ποιητὴν οὐρανοῦ καὶ γῆς καὶ πάντων τῶν κτισμάτων·
τὸν γεννηθέντα ἐκ Πατρὸς πρὸ πάντων τῶν αἰώνων,
φῶς ἐκ φωτὸς ὑπάρχοντα, ἀληθῶς Θεὸν μέγαν,
δι' οὗ τὰ πάντα ἐγένετο δι' ἡμᾶς τοὺς ἀνθρώπους·
καὶ γεννηθέντα ἐκ μητρὸς Μαρίας τῆς παρθένου,
τὸν ὑπομείναντα σταυρὸν δι' ἄκραν εὐσπλαγχνίαν·
τὸν ταφέντα ἐν μνήματι, καὶ πάλιν ἀναστάντα,
τὸν ἀνελθόντα ἐν σαρκὶ σὺν δόξῃ τοῦ Πατρός του,
καὶ νῦν συνδοξαζόμενον ἐν δεξιᾷ Ὑψίστου,
καὶ πάντας κρῖναι μέλλοντα ἡμέρᾳ τῇ ἐσχάτῃ·
καὶ τῆς βασιλείας αὐτοῦ οὐδόλως ἔσται τέλος.
Καὶ εἰς Πνεῦμα τὸ ἅγιον, τὸ ζωοποιοῦν πάντα.
« Ὁμολογῶ ἓν βάπτισμα, λουτρὸν ἁμαρτημάτων,
καὶ προσδοκῶ ἀνάστασιν πάντων τῶν τεθνεώτων
(ἑκάστῳ οὖν ἀποδιδοὺς τὰ ἄξια τῶν ἔργων),
καὶ ἀτελεύτητον ζωὴν τοῦ μέλλοντος αἰῶνος.
Πᾶς πιστεύσας καὶ βαπτισθεὶς εἰς τὸ ὄνομα τούτου,
οὐκ ἀποτύχῃ πώποτε ζωῆς τῆς αἰωνίου·
ὁ δὲ μὴ ταῦτα ἐγνωκώς, ὦ γλυκέα μου μῆτερ,
ἐν τῇ γεέννῃ τοῦ πυρὸς πάντοτε τιμωρεῖται,
ἔνθα κλαυθμὸς καὶ ὀδυρμὸς καὶ βρυγμὸς τῶν ὀδόντων,
ὁ ἰοβόλος σκώληξ τε, τάρταρος καὶ τὸ σκότος·
σὺ δέ, φιλτάτη μῆτέρ μου, ἔμπροσθέν μου ἐλεύσει,
εἰς Ῥωμανίαν νὰ ἔλθωμεν, νὰ ἰδῇς τὴν καλήν μου·

εἰ δὲ οὐκ ἔρχῃ μετ' ἐμοῦ, εὔχου μ' ὅτι ὑπάγω».
Ταῦτα εἶπεν ὁ 'Αμηρᾶς τὴν ὁδὸν ὑπανοίξας
τῆς ἀμωμήτου πίστεως· ἡ μήτηρ δὲ πρὸς τοῦτον
ἔφησε ταῦτα σύντομα, μετὰ πολλοῦ τοῦ πόθου·
« καγώ, τέκνον, πιστεύω νῦν τῷ βαπτίσματι τούτου,
καὶ διὰ σπλάγχνον σου ἔρχομαι, ὅπου θέλεις ὑπάγω,
καὶ αὐτὴν τὴν πίστιν προσκυνῶ Χριστοῦ τοῦ φιλανθρώπου,
ἀρνοῦμαι καὶ τὸ γένος μου διὰ τὴν σὴν ἀγάπην.
Καὶ εὐθὺς πάλιν ὁ ἀμηρᾶς ἀντέφη πρὸς ἐκείνην·
«πίστευσον τοίνυν εἰς Χριστόν, ὦ γλυκέα μου μῆτερ,
καὶ μὴ κολάσῃς τὴν ψυχὴν ἐν σκότει ἐξωτέρῳ·
οὐκ ἔστι σοι ἀντάξιον ψυχῆς ὁ κόσμος ὅλος,
ἂν γὰρ κερδήσῃς ἅπαντα, ψυχὴν ἀπολέσῃς,
ὄφελός σοι οὐδέν ἐστιν ἐν ἡμέρᾳ ἐκείνῃ,
ὅταν Θεὸς ἐξ οὐρανοῦ κρινεῖν τὸν κόσμον ἔλθῃ,
καὶ στῶσιν ἔμπροσθεν αὐτοῦ ἀγγέλων μυριάδες,
καὶ οἱ μὲν φωνῆς ἀκούσουσι « πορεύεσθε » λεγούσης,
« εἰς τὸ πῦρ τὸ ἐξώτερον καὶ τὸ κατηραμένον,
εἰς ἰοβόλον σκώληκα μετὰ τῶν κατακρίτων,
ὡς προσταγμάτων τοῦ Χριστοῦ φανέντες παραβάται».
Οἱ δὲ πιστεύοντες Χριστόν, τὸν μόνον ζωοδότην,
καὶ ἐντολὰς φυλάξαντες αὐτοῦ τοῦ φιλανθρώπου,
ὡς ἥλιος ἐκλάμψουσιν εἰς τὴν αὐτὴν ἡμέραν,
καὶ τῆς φωνῆς ἀκούσουσιν ἐκείνης τοῦ δεσπότου.
« δεῦτε, κληρονομήσατε, Πατρὸς εὐλογημένοι,
τὴν βασιλείαν οὐρανῶν εἰς χρόνους ἀπεράντους».
καὶ οὕτω γὰρ πορεύσονται εἰς χαρὰν αἰωνίαν.
'Εκεῖ οὐδεὶς ὁ βοηθῶν, οὐδείς ἐστιν ὁ σώζων,
ὁ Θεὸς γὰρ κριτής ἐστι πάντας δικαίως κρίνων.

Καὶ εἴπερ βούλει, μῆτέρ μου, ζωῆς ἀξιωθῆναι,
πλάνην κατάργησον ψευδῆ καὶ φλυαροὺς τοὺς μύθους·
Θεὸν δὲ σέβου, μῆτέρ μου, τὸν ἐν τρισὶ προσώποις,
καὶ εἰς αὐτοῦ τὸ ὄνομα θέλησον βαπτισθῆναι
(καὶ) τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ Πνεύματος ἁγίου,
κἀγὼ τοίνυν σε δέξομαι ἐν τῇ ἀναγεννήσει».
Ὅμως δέ, τῆς μητρὸς αὐτοῦ ταῦτα διδασκομένης,
οὐ παρῃτήσατο παιδὸς τῆς συμβουλίας ταύτης·
ἀλλ' ὥσπερ γῆ καλὴ εὐθὺς τὸν σπόρον δεξαμένη,
οὕτως αὐτὴ ἐδέξατο τοὺς λόγους τοῦ υἱοῦ της,
«πιστεύω τέκνον, λέγουσα, Θεὸν τὸν ἐν τριάδι,
καὶ μετὰ σοῦ πορεύομαι, υἱέ, εἰς Ῥωμανίαν,
καὶ βαπτισθῶ εἰς ἄφεσιν πολλῶν ἁμαρτημάτων,
καὶ χάριν σοῦ ὁμολογῶ, διὰ σοῦ ἐβαπτίσθην».
Ὡσαύτως καὶ οἱ συγγενεῖς οἱ ἐκεῖσε τυχόντες,
ὁμοφρόνως ἐκραύγαζον μεγάλως ἐκβοῶντες·
«μετὰ σοῦ συνερχόμεθα πάντες εἰς Ῥωμανίαν,
καὶ βαπτισθέντες τύχοιμεν ζωῆς τῆς αἰωνίου».
Ἐθαύμασε δ' ὁ Ἀμηρᾶς πάντων τὴν προθυμίαν
καὶ δόξαν ἔφερε Θεῷ τῷ μόνῳ φιλανθρώπῳ,
τῷ προσδεχομένῳ ἀεὶ πάντας μετανοοῦντας.
Καὶ παρευθὺς ἐκεῖνός γε πηδᾷ, καβαλλικεύει,
ἔλαβε τοὺς ἀγούρους του μετὰ καὶ τῆς μητρός του
καὶ τινας ἄλλους συγγενεῖς, τοὺς ἀδελφούς του λέγω,
καὶ εἰς τὸ Παγδάτιν ἦλθοσαν καὶ ἐπέζευσαν πάντες,
καὶ ἐκεῖσ' ἀπεσύναξαν πᾶσαν αἰχμαλωσίαν,
καὶ τὴν ποθητὴν ἔστειλε δούλους τε καὶ δουλίδας,
ἔστειλε καὶ καμήλια, ἄργυρον καὶ χρυσίον,

καὶ βλαττία[1] πολύτιμα ἀπέστειλε τὴν κόρην,
φαρία διακόσια σελλοχαλινωμένα·
καὶ μετὰ ταῦτ' ἐκίνησαν ἐλθεῖν εἰς Ῥωμανίαν·
ἔμπροσθέν του ἀπήρχοντο χίλιοι Ἀραβῖται,
ὁλόλουροι καὶ θαυμαστοί, χρυσοκλιβανισμένοι·
καὶ μετ' αὐτὸν διήρχοντο ἄλλαι δύο χιλιάδες,
αἱ φάραι ἐχλημέτριζον καὶ τὰ συρτὰ ὁμοίως,
οἱ ἄγουροί του ἔπαιζον καὶ μέγα ἐτραγῴδουν,
ὁ δὲ νέος ὑπέχαιρε μετὰ καὶ τῆς μητρός του.
Καί, ὅτε ἐκατέλαβον ἄκραν Καππαδοκίας,
ὁ Ἀμηρᾶς ἐλάλησεν οὕτως πρὸς τὴν μητέρα,
καὶ πρὸς τοὺς φίλους τοὺς αὐτοῦ ἐκλέγων τὰ τοιαῦτα.
«Ἐγὼ ταχέως, φίλοι μου, ἔμπροσθεν ὑπαγαίνω,
νὰ εὕρω συγχαρίκια ἀπὸ τῆς ποθητῆς μου,
μή με προλάβῃ ἄλλος τις καὶ λάβῃ τα ἐκεῖνος,
καὶ ὀκνηρὸς καὶ ῥᾳθυμὸς φανῶ εἰς τὴν φιλίαν».
Αὐτοὶ δὲ ἀπεκρίθησαν αὐτὸν «καλῶς ὁρίζεις,
ἄξιον καὶ ἐρωτικὸν καὶ πλήρωμα ἀγάπης
ὑπάρχει ὅπερ ὥρισας, καὶ πλήρωσον ταχέως».
Ἐκεῖνος οὖν, ὡς ἤκουσεν, τὸ ἔργον ἐκπληρόνει·
καὶ παρευθὺς ὁ νέος γε ἐφόρεσε φακιόλιν
ὁλόχρυσον, ἐπαινετόν, καστόριν φαρατζίκιν,
καὶ θαυμαστόν, πολύτιμον, εὐγενέστατον πάνυ,
εἶχε δὲ ῥίζας χυμευτὰς μετὰ λιθομαργάρων·
ἵππον ἐκαβαλλίκευεν δαγάλλον, ἀστεράτον,
καὶ ὡς γεράκιν ἄχρωμον ἔφθασεν εἰς τὸ κάστρον,
καὶ τρεῖς ἔχων μετ' ἑαυτοῦ ἐκ τῶν πολλῶν ἀγούρων·

---

(1) ἐπίσαγμα, σέλλα.

εἰς τὸν οἶκον τῆς ποθητῆς εὑρέθησαν αὐτίκα,
φωνὴν εὐθὺς ἐφώνησεν χαρᾶς πεπληρωμένος.
«Ἔξελθε, ξανθὴ εὐγενική, ἰδεῖν τὸν ποθητόν σου,
καὶ παραμύθησον αὐτὸν ὡς ἀπὸ ξενιτείας».
Αἱ βάϊαι δέ, ὡς ἤκουσαν, παρέκυψαν εὐθέως,
καὶ ἰδοῦσαι τὸν Ἀμηρᾶν πρὸς τὴν κυρίαν εἶπον·
«συγχαίρωμεν, αὐθέντρια, ἦλθεν ὁ ποθητός σου».
Ἐκείνη δὲ ὡς ἄπιστον ἐλογίσατο ῥῆμα·
ὁ γὰρ ἐξαίφνης τι ἰδὼν τῶν ἐπιθυμουμένων,
ὄναρ δοκεῖ φαντάζεσθαι ἀπὸ περιχαρείας·
πρὸς τὰς βαίας ἔλεγεν· «μὴ φάντασμα ὁρᾶτε;»
Καὶ πάλιν ἤλθοσαν λαλεῖν καὶ ὁ Ἀμηρᾶς ἦλθεν.
Καὶ εἰς τὸ κουβοῦκλιν παρευθὺς ἐσέβηκε μετὰ τῆς κόρης,
καὶ ὡς εἶδε τὸν ποθητὸν ἐξαίφνης ἀνελθόντα,
ταῖς χερσὶ περιπλέξασα τὸν τράχηλον ἐκείνου,
ἐπεκρεμάσθη ἐμφανῶς δακρύουσα ἡ κόρη·
ὡσαύτως καὶ ὁ θαυμαστὸς ἀμηρᾶς πρὸς ἐκείνην,
τὴν κόρην γὰρ περιλαβὼν αὐτῆς φιλεῖ τὸ στῆθος
καὶ πεπλεγμένοι εἱστήκεισαν ἐπὶ πολλὰς τὰς ὥρας.
Ὁρῶσα δὲ ἡ στρατήγισσα ἔρρανεν αὐτοῖς ὕδωρ·
ἀγάπη γὰρ ὑπέρμετρος γεννᾷ πολλὰ τοιαῦτα,
πολλάκις καὶ πρὸς θάνατον συνέρχεται ἡ ἀγάπη,
ὡς καὶ αὐτοὶ παρὰ μικρὸν ἔμελλον ὑποστῆναι,
καὶ μόλις αὐτῶν ἔφερον τὸν νοῦν εἰς αἴσθησίν των.
Τὴν δὲ χαρὰν τὴν ἄπειρον, ἣν εἶχον οἱ οἰκεῖοι,
τίς λόγος φράσαι δυνηθῇ ἢ πάντα καταλέξαι;
Ἵσταντο βάϊαι ἔμπροσθεν, βάϊαι ἐξοπίσω,
ῥοδόσταμαν τοὺς ἔρραναν, ἔλεγον πρὸς τὴν κόρην·
«χαίροις, αὐθέντρια καλή, σὺν τῷ ἡμῶν δεσπότῃ,

τίποτε μηδὲν θλίβεσαι, τίποτε μὴν λυπῆσαι ! »
Καὶ τότε τὸ κοράσιον ἐκ βάθους τῆς καρδίας
ἐστέναξεν, ἐδάκρυσεν, τοιοῦτον λόγον εἶπεν·
« δόξα σοι, δέσποτα Χριστέ, ὅτ' ἐπληροφορήθην
ἐγώ, ἡ παναθλία σου, καὶ εἶδον τὸν καλόν μου ! »
Καὶ περιλαβοῦσα αὐτὸν ἡδέως κατεφίλει·
ἐφίλει δὲ καὶ ὁ ἀμηρᾶς τοὺς ὀφθαλμοὺς ἐκείνης.
Οἱ δὲ τῆς κόρης ἀδελφοὶ ἐκεῖνοι παρευθέως
ἀκούσαντες ὅτ' ἀμηρᾶς εἰσῆλθεν ὁ γαμβρός των
ἐξαίφνης ἦλθον ἅπαντες ἔνδον εἰς τὸ κουβοῦκλιν·
καί, τὸν γαμβρὸν ὡς εἴδασι μετὰ τῆς αὐταδέλφης,
ὅτ' ἦσαν ἀγκαλιαστοὶ καὶ γλυκοεφιλοῦντο,
ἐντράπησαν τὰ ἀδέλφια καὶ 'στάθησαν ἀπέξω
κ' εἶχον ἐξαίρετον χαρὰν ἐν ἐκείνῃ τῇ ὥρᾳ.
Ἔφερον καὶ τὸν Διγενῆ αἱ βάϊαί τε ἔσω·
καί, ὡς τὸν εἶδεν ἀμηρᾶς ἐκεῖνος ὁ πατήρ του,
ἠγκαλιάσατο αὐτὸν καὶ ἐφίλει ἀπλήστως,
καὶ ἔχαιρε σὺν ἅπασι, μετὰ τῆς ποθητῆς του,
καὶ σὺν τοῖς γυναικάδελφοις καὶ μετὰ τῆς μητρός του.
Καὶ ὁ λαὸς τοῦ ἀμηρᾶ ἔφθασαν εἰς τὸ κάστρον,
ἔφερον τὰ καμήλια μετὰ τῶν μουλαρίων,
καὶ ἔβαλον τὰ πράγματα ἔνδοθεν εἰς τὰς θήκας,
καὶ τὰ φαρία ἔθεντο εἰς τοὺς μεγάλους σταύλους,
τοὺς δὲ ἀγούρους τοὺς καλούς, Πέρσας καὶ 'Αραβίτας,
πάντας ἐφιλοτίμησε χαρίσμασιν μεγάλοις,
καὶ πάλιν ἐξαπέστειλεν αὐτοὺς εἰς τὴν Συρίαν·
ἐκράτησε δὲ ἐξ αὐτῶν ἑκατὸν 'Αραβίτας,
καὶ τὴν μητέρα μετ' αὐτῶν, μετὰ τῶν ἀδελφῶν των
καὶ τόπον ἐδωρήσατο αὐτοῖς εἰς κατοικίαν.

Αὐτὸς δὲ συνεχαίρετο τὴν ῥοδεύμνοστον κόρην,
καὶ φήμη ἦν περὶ αὐτοῦ εἰς ἅπαντα τὸν κόσμον.

## Διγενοῦς λόγος τέταρτος.

Ἀρχὴν λαβών, ὦ φίλτατε, πλείστων κατορθωμάτων
λέγειν τρόπαια κάλλιστα, ἀνδραγαθιῶν πλήθη,
φέρε λοιπὸν εἰς μέριμναν τὸν Διγενὴν Ἀκρίτην,
τὸν φίλτατον Ἀκρίτην γάρ, τὸν πανθαύμαστον πάντων,
τὸν κατορθώσαντα ἐν γῇ πλείστας ἀνδραγαθίας,
νίκας λαμπράς, ἐξακουστάς, δόξαν γενναιοτάτην·
οὗτος τοίνυν ἀνδρειωθεὶς αὔξησιν ἡλικίας,
καὶ ἔτος γὰρ τριακοστὸν καὶ τρίτον αὖθις πέλων,
τέλος δὲ τοῦδε τοῦ βίου δὲ δέδωκεν ἐν εἰρήνῃ,
καλῶς πολιτευσάμενος καὶ λαμπρῶς ἀριστεύσας.
Καὶ αὖθις περὶ ἔρωτος ἀναμιμνήσκω πάλιν,
ῥίζα γὰρ οὗτος πέφυκεν ἐκείνης τῆς ἀγάπης.
ἐξ ἧς φυλῆς τοῦ ἔρωτος γίνεται καὶ πόθος,
ὃς αὐξηνθεὶς κατὰ μικρὸν φέρει καρποὺς τοιούτους,
καὶ ὅστις τοῦτον κέκτηται ἐν τῷ παρόντι βίῳ
μέριμνάς τε διηνεκεῖς ἐκφέρει καρποὺς τοιούτους·
ὡς ἀκίνδυνον πλῆθός τε ἀντ' οὐδενὸς ἡγεῖται
νεότητι αὐξάνων τις ἀνδρείᾳ τε ὡσαύτως·
ὡς ἤδη οὖν κατατολμᾷ τοῦ ἀποχωρισθῆναι
γονέων τε καὶ συγγενῶν καὶ φίλων τῶν οἰκείων,
θαλάσσης μὲν μὴ φείδεσθαι, πυρὸς δὲ μὴ πτοεῖσθαι·
δράκοντας οὖν καὶ λέοντας καὶ τὰ λοιπὰ θηρία,
οὐδόλως ἐδεδοίκεται στερεωθεὶς ἐκ πόθου,
καὶ τοὺς ἀνδρείους καὶ λῃστὰς οὐδόλως χρείαν ἔχει,
νύκτας ἡμέρας προσδοκῶν καὶ τὰς κλεισούρας, κάμπους,

εὐθείας λογιζόμενος, καὶ ἄλλων δεινῶν κινδύνων,
ἀγρυπνίας ἀνάπαυσιν οὐ δίδωσι βλεφάροις.
Πολλοὶ καὶ πλεῖστοι τὰ αὐτῶν ἠρνήθησαν διὰ πόθον
καὶ τοῦτο γὰρ μὴ ἄπιστον ἐξ ὑμῶν λογισθείη,
μάρτυρα γὰρ ἐπαινετὸν ἡμῖν γε παραστήσω
τὸν 'Αμηρᾶν τὸν εὐγενῆ, καὶ πρῶτον τῆς Συρίας,
ὅς εἶχεν ἰδίωμα τερπνὸν καὶ τόλμην θηριώδη,
καὶ μέγεθος πανθαύμαστον, ἀνδρείαν ἐπαινουμένην.
Καὶ γὰρ ὡς δεύτερος Σαμψὼν οὗτος ἐπενοεῖτο,
ἐκεῖνος γὰρ ἀπέκτεινε λέοντα τὸν φρικώδη,
οὗτος δὲ πλῆθος ἄπειρον ἀπέκτεινε λεόντων.
Παῦσαι, μὴ λέγε, ἄνθρωπε, τοὺς μύθους 'Αχιλλέως,
ὡσαύτως καὶ τοῦ Ἕκτορος, οἵπερ εἰσὶ ψευδώδεις.
'Αλέξανδρος ὁ Μακεδὼν δυνατὸς ἐν φρονήσει,
Θεὸν γὰρ ἔχων συνεργὸν γέγονε κοσμοκράτωρ,
ἐκέκτητο δὲ φυσικὴν τόλμην τε καὶ ἀνδρείαν.
Γέροντα δὲ Φιλόπαππον καὶ Κίνναμον ὡσαύτως,
καὶ 'Ιωαννίκιον θαυμαστόν, ἐκείνους τοὺς ἀνδρείους,
οὐδόλως ἐστὶν ἄξιον συγκρῖναι μετ' ἐκείνου.
αὐτοὶ μὲν ἐκαυχήσαντο καυχήματα ψευδώδη,
ὁ δὲ ἀμηρᾶς ἀληθινὰ καὶ μεμαρτυρημένα,
πάντα γὰρ αὐτὸς ἔπραξε, καὶ μηδεὶς ἀπιστείτω!
'Αμβρὼν ἦτον ὁ πάππους του, θεῖός του ὁ Καρώης,
καὶ τοῦτον ἀνεθρέψαντο Ἄραβες μετὰ πόθου,
ἐκλεκτοὺς αὐτῷ δέδωκαν τρισχιλίους ἀγούρους
Συρίαν ὅλην ὑπέταξεν, ἐποίησε καὶ τὸ Κοῦφερ·
καὶ πάλιν πλῆθος ἐκλεκτὸν στρατεῦσαν μαγουλίων(1)

(1) μαγουλίων = παλληκαρίων.

μετ' αὐτοῦ ἐν τοῖς μέρεσι τῆς Ῥωμανίας ἦλθεν·
ἐκεῖσε γοῦν ἐκούρσευσε χώρας πολλὰς καὶ πόλεις
τοῦ Ἡρακλέος λέγω δὴ καὶ ἑτέραις συνάμα,
Χαρσιανὴν ὁμοίως τε μέχρι Καππαδοκίας·
καὶ κόρην ᾐχμαλώτευσε Ῥωμαίου θυγατέρα,
ἐκ γενεᾶς ὑπάρχουσαν τῶν Δουκάδων ἐκείνων,
καί, διὰ τοῦ κάλλους αὐτῆς τοῦ θαυμαστοῦ καὶ γένους
τὰ πάντα ἀρνησάμενος, πίστιν ὁμοῦ καὶ δόξαν,
Χριστιανὸς ὀρθόδοξος γέγονε διὰ ταύτης.
Ὅτε γὰρ ἔμελλε λαβεῖν πολέμους τῶν Ῥωμαίων,
δοῦλον ἑαυτὸν ἐποίησεν διὰ ὡραίας πόθον
ἥτις καὶ παῖδα ἄρρενα περιφανῆ τῷ ὄντι
ἀπέτεκε τὸν Διγενῆ ἐκεῖνον τὸν ἀνδρεῖον,
ὅστις τὴν κλῆσιν ἔλαβεν ταύτην ἐκ τῶν γονέων·
ἐθνικὸς ἦν ἀπὸ πατρὸς ἐκ τῆς φυλῆς τῶν Σύρων,
Ῥωμαῖος δὲ ἀπὸ μητρὸς ἐκ τοῦ γένους τῶν Δουκάδων,
διὰ τοῦτ' ἐπεκλήθηκε Διγενὴς ὁ υἱός των·
καί, βαπτισθεὶς ἐν ὕδατι ἁγίας κολυμβήθρας,
Βασίλειος ὠνόμαστο ἑξαετὴς ὑπάρχων.
Καὶ ὡς ἔπρεπ' ἀνεθρέφετο εἰς ἅπασαν ἡμέραν,
καὶ φοβερὸς γενόμενος δι' ὀλίγου τῇ γνώσει,
Ἀκρίτας ὠνομάσθη γάρ, ὡς τὰς ἄκρας φυλάσσων.
Πάππος δ' αὐτοῦ Ἀνδρόνικος ἀπὸ τῶν Κινναμάδων,
ὃς τέθνηκεν ἐξόριστος βασιλικῇ προστάξει
Ῥωμανοῦ τοῦ πανευτυχοῦς διά τινας προσλήψεις·
πολὺς γὰρ κλῆρος ἦν αὐτῷ καὶ πλῆθος πολὺ πλούτου,
καὶ μέγας ἐφημίζετο παρὰ πάντας ἀνθρώπους.
Μάμμην εἶχε στρατήγισσαν ἐκ γένους τῶν Δουκάδων,
θείους τε εἶχε θαυμαστούς, ἀδελφοὺς τῆς μητρός του

οἳ καὶ μονομαχήσαντες διὰ τὴν ἀδελφήν των,
τὸν Ἀμηρᾶν ἐνίκησαν τὸν ἑαυτοῦ πατέρα.
Ὄντως βλαστὸς ἀνέφυεν ἐξ εὐγενῶν τῆς ῥίζης,
πλέον γὰρ οὗτος ἔλαμψεν ἐκείνου τοῦ πατρός του,
γέγονε καὶ περίβλεπτος εἰς τὰς ἀνδραγαθίας.
Καὶ νῦν ἰδοὺ ἀρχόμεθα τὰ περὶ τούτου λέγειν·
ἀλλὰ μηδείς, παρακαλῶ, ψευδῆ εἶναι νομίσῃ
ταύτην ἣν διηγήσασθαι τοῦ λόγου εὐφημίαν,
ἐπεὶ Θεοῦ τὸ θέλημα τοῦ μόνου δυναμένου,
ὅπου γὰρ βούλεται Θεός, οὐδεὶς ὁ ἐμποδίζων.
Οὗτος τοίνυν ὁ θαυμαστὸς Βασίλειος ὁ Ἀκρίτης
παιδόθεν εἰς καθηγητὴν παρὰ πατρὸς ἐδόθη,
καί, τρεῖς ὅλους ἐνιαυτοὺς μαθήμασι σχολάζων,
τῇ τοῦ νοὸς ὀξύτητι πεῖραν ἔσχε γραμμάτων.
Εἶθ' οὕτως τοῦτον ἔδοξε κυνήγια ποθῆσαι,
μετὰ πατρὸς ἐξήρχετο ἐν τούτοις καθ' ἑκάστην,
τὸ δόρυ διδασκόμενος καὶ τὸ σπαθὶν ὁμοίως,
καὶ παλαιστρίτης γίνεται δοκιμώτατος λίαν
καὶ τὴν αὐτοῦ ἐξίσταντο πάντες ἀνδρείαν πάνυ,
τοῦ δρόμου γὰρ τὸ ἄπειρον ἐδείκνυε τὴν πρᾶξιν.
Ὅτε δὲ δώδεκα ἐτῶν γενόμενος ἐκεῖνος,
ὡς ἥλιος ἐπέλαμπεν ἐν πᾶσι τοῖς παιδίοις,
ἔβαινε καὶ εἰς δύναμιν ὥσπερ ἀνδρειωμένος.
Καὶ ἐν μιᾷ τῶν ἡμερῶν πρὸς τὸν πατέρα εἶπεν,
τοιαῦτα λέγων πρὸς αὐτὸν ὁ Διγενὴς Ἀκρίτης·
«πόθος ἀνῆψεν εἰς ἐμέ, αὐθέντα καὶ πατήρ μου,
τοῦ δοκιμάσαι ἐμαυτὸν εἰς θηριομαχίαν·
καί, εἴπερ ὅλως ἀγαπᾷς τὸν σὸν υἱὸν Ἀκρίτην,
ἐπιδίδου μοι θέλημα θηρία κυνηγῆσαι,

(καὶ) πάρδους τε καὶ λέοντας, ἄρκτους μετὰ δρακόντων,
νὰ δοξασθῇς, αὐθέντα μου, ἐν ταῖς ἀνδραγαθιαῖς μου.
Δεῦτε, καβαλλικεύσωμεν, πάγωμεν εἰς κυνῆγιν,
καὶ εἰς τόπον ἀπέλθωμεν ἔνθα εἰσὶ θηρία,
καὶ πάντας σβέσω λογισμοὺς τοὺς ἐμὲ ἐνοχλοῦντας».
Τούτους τοὺς λόγους ὁ πατὴρ ἀκούσας τοῦ φιλτάτου,
ἠγάλλετο τῷ πνεύματι, ἔχαιρε τῇ καρδίᾳ
καὶ μετὰ πολλῆς τέρψεως αὐτὸν ἐκατεφίλει
καὶ ἔλεγε πρὸς τοῦτον γὰρ τὸν Διγενὴν Ἀκρίτην.
«Θαυμαστὴ γὰρ ἡ γνώμη σου καὶ γλυκεῖοι οἱ λόγοι,
πλὴν δὲ οὐ πάρεστι καιρός, δεινότερος ὑπάρχει,
καὶ σὺ γάρ, περιπόθητε, δωδεκαετὴς ὑπάρχων,
οὐ δύνασαι, γλυκύτατε, θηρία πολεμῆσαι·
ὦ τέκνον μου γλυκύτατον, μὴ τοῦτο νῦν ποιήσῃς,
μὴ ἄνθος σῆς νεότητος πρὸ καιροῦ ἀπολέσῃς·
ἂν γάρ, Θεοῦ θελήματι, ἀνδρὸς εἰς μῆκος φθάσῃς,
τότε, παμφίλτατε υἱέ, θηρία πολεμήσεις».
Ἀκρίτης δέ, ὡς ἤκουσεν τοὺς λόγους τοὺς τοιούτους,
ἐθλίβηκε κατὰ πολύ, ἐπόνεσε καρδίαν,
κατὰ πολὺ δακρύσας δέ, λέγει πρὸς τὸν πατέρα·
«μετὰ γοῦν τὴν τελείωσιν ἀνδραγαθήσω, πάτερ,
τί μοι τότε ὁ ἔπαινος γενήσεται ἐκεῖνος;
πότε κἀγὼ νὰ δοξασθῶ καὶ τὸ γένος λαμπρύνω,
πληροφορήσω δὲ καὶ σὲ τὸν ἐμὸν εὐεργέτην,
ὅτι ἔχεις με ἀπὸ τοῦ νῦν δοῦλον καὶ συνεργόν σου; »
Ἐκνεύσας τοίνυν ὁ πατὴρ τὸ πρόθυμον θαυμάζει,
φύσεως γὰρ τὸ εὐγενὲς ἡ καρδία γνωρίζει.
Καὶ τῇ ἐπαύριον λαβὼν τὸν γυναικάδελφόν του.
χρυσοῦν τὸν Κωνσταντῖνόν τε, καὶ τὸν υἱόν του Ἀκρίτην,

καί τινας ἐκ τῶν ἀγούρων του, ἐξῆλθε κυνηγῆσαι·
γεράκια ἐβάσταζον λευκά, ἐκ τῶν μουτάτων·(1)
καί, ὅτε ἀπεσωσάσιν εἰς τὰ ὄρη τὰ μεγάλα,
ἀπὸ μακρόθεν βλέπουσιν ἄρκους φρικωδεστάτους
οἵτινες ἀπεπήδησαν ἐντὸς ἀπὸ τοῦ δάσους.
ἄρσην καὶ θήλεια ἔφθασαν ταχέως εἰς τὸ δάσος,
καὶ ὁ ἄρκος ἐπιστραφεὶς καὶ στόμα μέγα χάνας,
ὥρμησε γὰρ τὴν κεφαλὴν συντρίψαι τοῦ παιδίου.
Ὁ δὲ ἁρπάσας παρευθὺς ἐκ στόματος τὸν ἄρκον,
ἀπεσφονδύλησεν αὐτόν, κ' ἐξέψυξεν ὁ ἄρκος.
Καὶ ἀπὸ τῶν ἄρκων τὸν βρυγμὸν καὶ τῶν ποδῶν τὸν κτύπον,
ἔλαφος ἐξεπήδησεν ἀπὸ τῆς παγαναίας·
καὶ ὁ ἀμηρᾶς ἔφησε ταῦτα πρὸς τὸν Ἀκρίτην·
« ἔμπροσθέν σου, ὦ φίλτατε, βλέπε θηρίον πάλιν».
Τὸ δὲ παιδίον τὰς φωνὰς ὡς ἤκουσεν, εὐθέως
ὡς λέων ἐμβριμήξατο, ὡς πάρδος συνεσφίχθη,
καὶ εἰς ὀλίγον πήδημα τὴν ἐλαφίνα φθάνει.
Καὶ τοῦ ποδὸς δραξάμενος παρευθὺς τῆς ἐλάφου,
ἀποτινάξας ἔσχισεν αὐτὴν εἰς δύο μέρη.
Τίς οὐ θαυμάσει μέγεθος Θεοῦ τῶν χαρισμάτων,
καὶ τὴν φοβερὰν δύναμιν ἐκείνου τὴν μεγάλην;
ἅπας γὰρ νοῦς ἀνθρώπινος ἐκπλήττει τὸ τοσοῦτον,
πῶς τὴν ἐλαφίνα ἔφθασεν παιδίον χωρὶς ἵππου,
πῶς τοὺς ἄρκους ἀπέκτεινεν ἐν χερσὶ χωρὶς ῥάβδου·
πάντα Θεοῦ θελήματι τοῦ δώσαντος δυνάμεις,
παιδίον γὰρ μικρότατον πτερύγων ὁμοιοῦται.
Ἰδόντες γὰρ οἱ ἅπαντες παράδοξον τοιοῦτον

(1) **Μουτάτος, ἱέραξ συνεθιζόμενος εἰς θήραν.**

τὸν Κύριον ἀνύμνησαν σὺν τῇ αὐτὸν τεκούσῃ,
τὸν δόντα τοσαύτην ἰσχὺν καὶ τέρατα τοιαῦτα·
« κυρία Μῆτερ τοῦ Θεοῦ, καὶ Θεὲ πανοικτίρμον,
πράγματα βλέπομεν φρικτὰ 'ς τὸν νεώτερον τοῦτον».
Σὺν τούτοις δὲ καὶ ἔλεγον καθ' ἑαυτοὺς τοιαῦτα·
« οὗτος οὐκ ἔστιν ἄνθρωπος ἀπὸ τοῦ κόσμου τούτου,
τοῦτον ὁ Θεὸς ἔστειλεν διὰ τοὺς ἀπελάτας,
καὶ τρέμει θέλουσιν αὐτὸν εἰς χρόνους τῆς ζωῆς του».
Καὶ ταῦτα πάντα λέγοντες δεινὴν λέαιναν εἶδον,
εἰς τὸ καλάμιν ἔνδοθεν μαινομένην, καὶ σκύμνον,
καὶ ὑπεστράφησαν εὐθὺς ἰδεῖν τὸν ἀγουρίτζην.
Ὁ παῖς δὲ διερχόμενος ἔσυρε τὰ θηρία,
ἐν μὲν τῇ δεξιᾷ χειρὶ εἶχε τοὺς δύο ἄρκους,
τῇ ἄλλῃ δὲ πάλιν χειρὶ τὴν ἔλαφον ἐκράτει·
καὶ τοῦτον ὁ θεῖος αὐτοῦ ἐφώνησεν εὐθέως·
«ἐλθὲ ἐνθάδε, τέκνον μου, παμφίλτατε 'Ακρίτα,
καὶ τὰ νεκρὰ κατάλιπε, ἔχομεν ἄλλα ζῶντα,
ἐν τούτοις δοκιμάζονται τῶν εὐγενῶν οἱ παῖδες».
Ὁ δὲ παῖς ἀπεκρίνατο λέγων αὐτῷ τοιάδε·
«τοῦτο γάρ ἐστι θέλημα Θεοῦ παντοδυνάμου,
ἵνα θεάσῃ καὶ αὐτὸν νεκρὸν ὡς καὶ τοὺς ἄρκους».
Καὶ ταῦτα εἰπὼν ὥρμησε πρὸς τὴν λέαιναν οὗτος,
ὁ δὲ θεῖος πάλιν αὐτοῦ ἐφώνησε πρὸς τοῦτον·
«ἔπαρον τὸ σπαθίτζιν σου, ὦ ποθητόν μου τέκνον,
αὐτὸς οὐκ ἔστιν ἔλαφος ἵνα τὸν σχίσῃς μέσον,
ἀλλὰ δεινὸν θηρίον εἶν', βλέπε μή σ' ἀδικήσῃ».
Καὶ ὁ νέος ἀπεκρίθηκε, πρὸς αὐτὸν τάδε λέγει·
«εἶπον καὶ πάλιν λέγω σοι, αὐθέντα μου καὶ θεῖε,
ὅτι οὐδὲν ἀδύνατον παρὰ Θεῷ ὑπάρχει».

Εὐθὺς τὴν σπάθην ἤρατο καὶ πρὸς τὸν θῆρα τρέχει,
καὶ ὅτε αὐτῷ ἤγγισεν, ἐπήδησεν ὁ λέων,
καὶ ἐπιπλώσας τὴν οὐρὰν αὐτοῦ εἰς τὰς πλευράς του,
καὶ μέγα βρυχησάμενος πρὸς τὸν νέον ἐπῆλθεν·
ὁ δὲ νέος τὴν σπάθην του εἰς ὕψος ἀνατείνας,
κρούει αὐτοῦ τὴν κεφαλὴν εἰς μέσον τοῦ μετώπου,
καὶ ἐσχίσθη ἡ κεφαλή αὐτοῦ μέχρι τῶν ὤμων.
Ὁ δὲ νεώτερος εὐθὺς πρὸς τὸν θεῖόν του λέγει·
«Βλέπεις, αὐθέντα θεῖέ μου, Θεοῦ τὰ μεγαλεῖα;
οὐκ ἐδιχάσθη καὶ αὐτὸς ὥσπερ τὴν ἐλαφίναν;»
Καὶ κατεφίλησεν αὐτὸν θεῖος καὶ ὁ πατήρ του,
καὶ χαίροντες ἀμφότεροι λέγουσι πρὸς ἐκεῖνον·
«πᾶς ὁ βλέπων τὸ κάλλος σου καὶ τὴν σὴν ἡλικίαν,
πανεύγενε νεώτερε, πῶς μὴ θαυμάσῃ τοῦτο;
ἀλλὰ βεβαίως δέξεται τὰς σὰς ἀνδραγαθίας,
τέκνον μου ποθεινότατον, καύχημα τῶν γονέων».
Εἶχε γὰρ ὁ νεώτερος πανθαύμαστος ἐκεῖνος
κόμην ξανθήν, ὑπόσγουρον, καὶ ὄμματα μεγάλα,
πρόσωπον ἄσπρον, ῥοδινόν, κατάμαυρα ὀφρύδια,
στῆθος ὡς κρύσταλλον κρυοῦ ὀργυίαν ἔχον μῆκος.
Τοῦτον ὁρῶν ἠγάλλετο πάμπολλα ὁ πατήρ του,
καί χαίρων ἔλεγεν αὐτῷ μεθ' ἡδονῆς μεγάλης·
«τὰ μὲν θηρία κρύπτονται, εἰσῆλθον εἰς τὰς κοίτας,
δεῦτε τοίνυν ἀπέλθωμεν εἰς τὸ ψυχρὸν τὸ ὕδωρ,
καὶ νίψον σου τὸ πρόσωπον ἐκ τῶν πολλῶν ἱδρώτων,
ἄλλαξον δὲ καὶ τὰς στολὰς ἐξ αἱμάτων χρανθέντας
καὶ ἐξ ἀφρῶν γε τῶν θηρῶν καὶ ἐξ ὀσμῆς τῶν ἄρκων.
Πλύνω δὲ καὶ τοὺς πόδας σου ἐγὼ μετὰ χειρῶν μου,
καὶ τρὶς μακάριος εἰμὶ ἔχων τοιοῦτον παῖδα·

ἀπάρτι πᾶσαν μέριμναν ἐκ τῆς ψυχῆς μου ῥίπτω,
καὶ ἀφρόντιστος γέγονα πάσας μου τὰς ἡμέρας·
οὐδὲν γὰρ ἔχω μέριμναν ἔνθα σε ἀποστείλω,
εἴς τε τὰ κούρση τῶν ἐθνῶν, μάχας τε πολεμίων».
Καὶ παρευθὺς ἀμφότεροι εἰς τὴν πηγὴν ἀπῆλθον,
ἦν γὰρ τὸ ὕδωρ δροσερὸν ὡσεὶ χιὼν ψυχρώδης,
καὶ κύκλωθεν ἐκάθισαν τοῦ πηγαδίου πάντες.
Καὶ οἱ παρόντες, λέγω δή, τὸν νέον προσεκύνουν,
οἱ μὲν τοὺς πόδας ἔνιπτον, οἱ δέ τὸ πρόσωπόν του,
ὁμοίως καὶ τὰς χεῖράς του ἐκ τῶν πολλῶν αἱμάτων.
Ἤλλαξε δὲ καὶ τὸ παιδὶν τὴν ἑαυτοῦ ἐσθῆτα,
βάλλει χλαμύδιν ἐλαφρὸν διὰ τὸ καταψυχίτζιν,
καὶ ἄνω τούτου κόκκινον μετὰ χρυσῶν λουρίων,
εἶχε δὲ ῥίζας χυμευτὰς μὲ τὸ μαργαριτάριν,
ἡ τραχηλέα δὲ αὐτοῦ ἔγεμεν ἄμπαρ μόσχου,
τρανοὶ μάργαροι ἐν αὐτῇ ἦσαν ἐμπεπηγμένοι,
καὶ τὰ κομπία ἔστραπτον ἐκ καθαροῦ χρυσίου,
τὰ ὑποδήματα αὐτοῦ χρυσοῦ ὡραϊσμένα,
τὰ δέ γε πτερνιστήρια μετὰ λιθομαργάρων,
ἀντὶ δὲ ἔργου τοῦ χρυσοῦ εἶχε μαγνήτας λίθους.
Καὶ πάντοτε ἐσπούδαζεν τὸ εὐγενὲς παιδίον
πρὸς τὴν μητέρα ἀπελθεῖν τοῦ μὴ αὐτὴν λυπῆσαι,
πάντας δὲ κατηνάγκαζεν εἰς τὸ καβαλλικεῦσαι.
Εἰς φάραν ἔβη μέγιστον, λευκὴν ὡς περιστέριν,
ἦτον ἡ χαίτη του πλεκτὴ μετὰ βενέτων(1) λίθων,
καὶ κώδωνας εἶχε χρυσοῦς μετὰ τῶν λιθαρίων·
οἱ κώδωνες ἦσαν πολλοὶ ποιοῦντες ἦχον μέγαν,

(1) βένετον, κυανοῦν.

ἐνήδονον καὶ θαυμαστόν, ἐκπλήττοντα τοὺς πάντας·
πρασινορρόδινον βλαττὶν εἶχεν εἰς τὸ καποῦλιν,
τὴν δὲ σέλλαν ἐσκέπαζεν μήπως κορνιακτοῦται·
τὸ σελλοχάλινον αὐτοῦ πλεκτὸν διὰ χρυσίου,
ἔργον ποικίλον, χυμευτὸν μὲ τὸ μαργαριτάριν.
Ἦν δὲ ὁ ἵππος του θρασὺς εἰς τὸ παίζειν ἡδέως,
καὶ ὁ Ἀκρίτης ἕτοιμος εἰς τὸ καβαλλικεῦσαι
καὶ ὁ ἵππος κατέπαιζεν εἰς ὄρεξιν τοῦ νέου,
ὁ δὲ νέος ἐκάθητο ὡς ῥόδον πεπλησμένον.
Εἶθ' οὕτως δὲ κινήσαντες ἤρχοντο εἰς τὸν οἶκον,
καὶ ἦσαν ἔμπροσθεν αὐτοῦ οἱ ἄγουροι του πάντες,
σὺν τούτοις δὲ καὶ ὁ πατὴρ καὶ ὁ τοῦ νέου θεῖος
μέσον τούτων ὁ ἄγουρος ὡς ἥλιος ἀστράπτων,
τὸ δόρυ ἐδοκίμαζεν τῇ δεξιᾷ χειρί του
πράσινον, ἀραβιτικόν, μετὰ χρυσῶν γραμμάτων,
ὡραῖος ἦν εἰς ὅρασιν, γλυκὺς εἰς συντυχίαν,
τερπνὸς εἰς τὸ ἀνάσταλμα, ὅλως μεμετρημένος.
Καὶ ὅτε ἔφθασαν ὁμοῦ καὶ εἰς τὸν οἶκον ἦλθον,
κ' ἔφαγον τε καὶ ἔπιον κ' ἔχαιρον καθ' ἑκάστην.
Ὁ δὲ πατήρ του Ἀμηρᾶς, ἐξ ἐκείνων τῶν χρόνων
τῶν κύκλωθεν τοῦ οὐρανοῦ τρεχόντων δι' ἡλίου,
διῆγε μελετώμενος τὰς ὁδοὺς τοῦ Κυρίου,
καὶ καθ' ἑκάστην ἔχαιρε μετὰ καὶ τῆς συζύγου,
καὶ μετὰ τῶν υἱῶν αὐτοῦ καὶ μετὰ φίλων πάντων,
ἕως εἰς πύλας ἔφθασεν τοῦ γήραος ἐκεῖνος,
ἐγκαταλείψας τῷ υἱῷ πάσας ἀνδραγαθίας.
Ὅτε δὲ ὁ εὐγενικὸς Διγενὴς ὁ ὡραῖος
αὐτὸς εἰς μέτρον ἔφθασεν τῆς αὐτοῦ ἡλικίας,
καὶ εἰς τοὺς ἄνδρας εὔθειος ἀνὴρ προσεγεγόνει,

τότ' ἐν μιᾷ τῶν ἡμερῶν πηδᾷ, καβαλλικεύει,
ἀπῆρε τὸ κοντάριον καὶ τὴν ῥάβδον ἣν εἶχεν,
καὶ συναθροίσας τε λαὸν ἔλαβεν ἴδιόν του,
καὶ ὡς ἐκεῖ διήρχοντο τὴν στράταν μετὰ μόχθου,
δ' ἀπελάτων ἤκουσεν ἄγαν ἀνδρειωμένων,
ὅτι κρατοῦσι τὰ στενά, ποιοῦν ἀνδραγαθίας,
καὶ ζῆλος ἦλθεν εἰς αὐτὸν τοῦ εἰδέναι ἐκείνους.
Καὶ μόνος ἀπερχόμενος νεροκάλαμον εὗρε
κ' εἶχε λέοντα φοβερὸν ἔνδον ἀποδαρμένον
Ἰωαννικίου ἐκ τῶν χειρῶν τοῦ θαυμαστοῦ ἐκείνου,
καί, ὡς εἶδε τὸν λέοντα ὁ Διγενὴς Ἀκρίτης,
ἐκ βάθους ἀναστέναξε ψυχῆς, καὶ εἶπεν οὕτως,
« πότε ἰδῆτε, ὀφθαλμοί, τοὺς ἀνδρείους ἐκείνους ; »
Τὸν ὑδροφόρον εὕρηκε τῶν ἀπελάτων τότε,
καὶ ἀνηρώτησεν αὐτὸν διὰ τοὺς ἀπελάτας·
ὁ ὑδροφόρος παρευθὺς τὸν Διγενὴν ἐλάλει·
«τί τοὺς θέλεις, νεώτερε καλέ, τοὺς ἀπελάτας;»
Ἐκεῖνος ἀπεκρίθηκε πάλιν τὸν ὑδροφόρον·
«ζητῶ κ' ἐγὼ νὰ γένωμαι ὡς εἷς τῶν ἀπελάτων».
Καὶ τότ' ἐκεῖνος ἔλαβε τὸν Διγενῆ καὶ ἦλθον
'ς τὸ λησταρχεῖον ἔνδοθεν τὸ φοβερὸν καὶ ξένον.
Καὶ εὗρε τὸν Φιλόπαππον ὅτ' ἔκειτο εἰς κλίνην,
πολλῶν θηρίων δέρματα εἶχεν ἐπάνω κάτω·
καὶ κύψας ὁ νεώτερος Βασίλειος Ἀκρίτης
προσεκυνήσατο αὐτὸν καὶ ἐχαιρέτησέ τον.
Καὶ ὁ γέρων Φιλόπαππος οὕτως τὸν ἀπεκρίθη·
«καλῶς ἦλθες, νεώτερε, ἂν οὐκ ἔσῃ προδότης».
Καὶ τότε ὁ Βασίλειος οὕτως ἀνταπεκρίθη·
«προδότης ἐγὼ δὲν εἶμαι, ἀλλὰ ζητῶ γενέσθαι

ἄρτι ἐν τῇ δε τῇ μονῇ μεθ' ὑμῶν ἀπελάτης».
Ὁ γέρων δὲ ὡς ἤκουσεν, οὕτως ἀπηλογήθη·
«ἂν καυχᾶσαι, νεώτερε, ἔσεσθαι ἀπελάτης,
τὴν ῥάβδον ταύτην ἔπαρον καὶ κάτελθε εἰς βίγλαν·
καὶ ἂν νηστεῦσαι δύνασαι ἡμέρας δεκαπέντε
μηδ' ὕπνον εἰς τὰ βλάφερα λάβῃς τῶν ὀφθαλμῶν σου
καὶ μετὰ ταῦτα ἀπελθὼν τοὺς λέοντας ἂν κτείνῃς,
καὶ πάντων τὰ δερμάτια ἂν φέρῃς ὧδε πάντα,
καὶ πάλιν ἐὰν δύνασαι εἰς βίγλαν καταβῆναι,
ὅταν περνοῦν οἱ ἄρχοντες μετὰ πολλοῦ τοῦ πλήθους...
νὰ πάρῃς νύμφην καὶ γαμβρὸν ἐνθάδε νὰ ἔλθῆτε
τότε πληροφορήθητε νὰ γείνῃς ἀπελάτης».
Ὁ Διγενὴς ὡς ἤκουσεν, οὕτως τὸν ἀπεκρίθη·
«ταῦτα, ὦ γέρον, μὴ λαλῇς· μικρὸς γὰρ τὸ ἐποίουν».
Καὶ τότες ὁ Φιλόπαππος τοῖς ἀπελάταις εἶπεν,
ἔφερον ἀργυρὸν σελίν, καὶ κάθισεν Ἀκρίτης.
Τράπεζαν ἔθεντο αὐτῷ ἔμπροσθεν θαυμασίαν,
ἔφαγον δὲ καὶ ἔπιον ἅπαντες χαριέντως·
καὶ μετὰ τοῦτο ἔλεγον ἕκαστος ἐξ ἐκείνων,
ὅτι δύνανται πολεμεῖν πολλοὺς ἐκ τῶν ἀνδρείων.
Καὶ τότε ὁ Βασίλειος ὁ Διγενὴς ἐκεῖνος
ἐπῆρε τὸ ῥαβδίον του καὶ εἰς τὸ μέσον ἦλθεν,
τοὺς μὲν ῥαβδέας ἔκρουε, τοὺς δ' ἄλλους σφονδυλέας,
καὶ πάντων ὑπελύθησαν αἱ χεῖρες τῶν ἀνδρείων·
καὶ ἐπάρας ὁ Διγενὴς ἐκείνων τὰ ῥαβδία,
ἔφθασε πρὸς τὸν γέροντα λέγων αὐτῷ τοιαῦτα·
«δέξαι ῥαβδία, Φιλόπαππε, πάντων τῶν ἀπελάτων
καὶ ἂν οὐδὲν ἀρέσῃ σοι τὸ θέλω ποίσειν!»
Ταῦτα οὖν ὁ θαυμάσιος Ἀκρίτης ἐκτελέσας,

ὑπέστρεψε πρὸς τὴν ὁδὸν ἔνθα ἦν ὁ λαός του,
καὶ μετὰ ταῦτα ἤλθοσαν πάντες εἰς τὰ οἰκεῖα.
Ἔχαιρε δὲ ὁ Διγενὴς ἐν πάσαις ταῖς ἡμέραις
ὁ θαυμαστὸς Βασίλειος, ἡ δόξα τῶν ἀνδρείων,
καὶ πάντες ἔφριττον αὐτὸν ἐκ τῶν αὐτοῦ πολέμων.

## Ὑπόθεσις τοῦ πέμπτου λόγου τοῦ Διγενοῦς τοῦ Ἀκρίτου.

Ὁ πέμπτος λόγος ὁ παρὼν ὑπάρχει τοῦ Ἀκρίτου,
καὶ ἔχει μὲν τὴν ἁρπαγὴν τοῦ στρατηγοῦ τῆς κόρης,
ἣν ὁ Ἀκρίτης ἔλαβε, εἰς τὰ οἰκεῖα ἦλθεν,
ἔχει δὲ καὶ τὴν ἔλευσιν Δουκὸς πρὸς τὸν γαμβρόν του·
τοὺς γάμους τε ποιήσαντες ἔχαιρον ἀκορέστως·
καὶ βασιλέα τὸν λαμπρὸν Ῥωμανὸν ὁ Ἀκρίτης
ἐτίμησεν ὁ Διγενὴς ἐλθόντα πρὸς ἐκεῖνον.

## Διγενοῦς λόγος πέμπτος.

Λοιπὸν πάλιν, ὦ φίλτατε, προσλέξω σοι καὶ ταῦτα,
ὅτ' ἐν ἐκείνῳ τῷ καιρῷ ὁ Δούκας ὁ ὡραῖος,
ὁ στρατηγὸς ὁ θαυμαστὸς μέρους(1) τῆς Ῥωμανίας,
εἶχε κόρην πανεύμορφον κλημένην Εὐδοκίαν,
ἧς πάντοτε τὸ ὄνομα ἤκουεν ὁ Ἀκρίτης,
εἶχε γὰρ κάλλος ἄπειρον, παράδοξον τὸ γένος.
Καὶ ἐν μιᾷ τῶν ἡμερῶν πηδᾷ, καβαλλικεύει,
ὑπῆρε τοὺς ἀγούρους του ὑπάγει εἰς κυνῆγιν.
Ἀφοῦ δὲ ἐκυνήγησαν, ἤρχοντο εἰς τὸν οἶκον·

---

(1) Ἐν χειρογράφῳ Πετρίτζη «πέραν» (τοῦ Εὐφράτου).

ὑπῆρχε τοίνυν καθ᾽ ὁδὸν τοῦ κυνηγίου Ἀκρίτου
ὁ οἶκος ὁ πανθαύμαστος στρατηγοῦ τοῦ μεγάλου,
καί, ὅτε ἐπλησίασαν, ἀναφωνεῖ μεγάλως·
«νεώτερος, ὅταν ποθῇ κόρην ὡραιοτάτην,
κἀκεῖσε διερχόμενος τὰ κάλλη της οὐ βλέπει,
οὐ χαίρει ἡ καρδία του διὰ νὰ ζῇ εἰς τὸν κόσμον».
Τῆς δὲ φωνῆς ἀκούσαντες τοῦ μέλους οἱ παρόντες,
ἐξέστησαν θαυμάζοντες τοὺς λόγους τοῦ Ἀκρίτου,
ὥσπερ μέλη σειρήνια ἦσαν οἱ λόγοι τούτου.
Τὸν οἶκον δὲ τοῦ στρατηγοῦ καὶ ἅπαντα τὸν πλοῦτον
ἀπαριθμῆσαι δυνατὸς οὐδεὶς τῶν ἐν τῷ κόσμῳ·
ἅπας γὰρ ἐκ μαρμάρων ἦν καὶ μεμουσιωμένος,
αἱ δὲ θυρίδες χυμευταὶ μετὰ λιθομαργάρων·
μόνον δὲ τὸ κουβούκλιον ἐν ᾧ περ ἦν ἡ κόρη
ἔσωθεν δὲ καὶ ἔξωθεν ὅλον μουσιωμένον,
ὅπερ κατωνομάζετο τῆς «κόρης τὸ κουβοῦκλιν».
Αὕτη τοίνυν ἡ πάμπλουτος ὡραιοτάτη κόρη,
ὡς εἶδε τὸν νεώτερον τοιαῦτα μελουργοῦντα,
ἔρως ἀνῆψεν εἰς αὐτὴν ὡς ἐφικτὸν τοῦ πόθου,
τὸ γὰρ κάλλος ἐξώτερον καὶ τὸ μέλος τιτρώσκει,
καὶ δι᾽ αὐτῶν τῶν ὀφθαλμῶν εἰς ψυχὴν καταρρέει,
οὐ γὰρ ἐβούλετο αὐτὴ χωρισθῆναι τοῦ κάλλους,
καὶ πρὸς τὴν βάϊαν γαληνῶς εἰς τὸ οὖς της ἐλάλει·
βαίτζα μου, παράκυψε καὶ ἴδε ἡδὺν νέον».
Ἡ δὲ κάλλος πανθαύμαστον ἰδοῦσα ἡ βαίτζα,
ἀνταπεκρίθη λέγουσα ταῦτα πρὸς τὴν κυράν της·
«ἂν ἤθελεν αὐθέντης μου, κυρά μου, ὁ πατήρ σου
εἰς τὸ λαβεῖν αὐτὸν γαμβρόν, ὃν οὐκ ἔχει ὁ κόσμος!»
Επιμένουσα δὲ αὐτῇ ἡ κόρη εἰς τὸ κουβοῦκλιν

πάντοτε περιέβλεπεν ἐκ τῆς ὀπῆς τὸν νέον.
Αὐτὸς δὲ ἤρετο τινάς, ὡς δῆθεν μὴ γινώσκων·
«μὴ οὗτος ἔνι ὁ κάλλιστος τοῦ στρατηγοῦ ὁ οἶκος
καὶ ἡ κόρη ἡ παντεύφημος ἐνταῦθα καταμένει,
δι' ἣν πολλοὶ ἀπώλοντο εὐγενεῖς στρατιῶται;»
Ὁ δὲ τῆς κόρης γε πατὴρ παρῆν τῇ ὥρᾳ ταύτῃ,
καὶ ὡς οἰκέτης, ἔλεγε τῷ Διγενῇ Ἀκρίτῃ·
«πολλοί, τέκνον μου, ὥρμησαν τὴν κόρην ἀφαρπάσαι,
διὰ τὸ κάλλος τὸ τερπνὸν ὅπερ αὐτὴ διέχει·
καὶ ταῦτα γνοὺς ὁ θαυμαστὸς πατὴρ ὁ τῆς ὡραίας
ἐγκρύμματα ἐποίησε, διακρατεῖ τοὺς πάντας,
οὓς μὲν ἀπεκεφάλισεν, οὓς δὲ τυφλόνει πάλιν».
Γνοὺς δὲ τοίνυν ὁ Διγενὴς ἀπὸ τῶν λόγων τούτου
ὅτ' ὁ πατὴρ αὐτῆς ἐστιν ὁ λαλῶν μετ' ἐκείνου,
εὐθέως ἀπεκρίνατο λέγων αὐτῷ τοιάδε·
«μὴ δόξῃ σε, ὦ πάτερ μου, ταύτην ἁρπάσαι ἦλθον;
καὶ γὰρ ἐγκρύμματα ἐμὲ ποτὲ οὐ θορυβοῦσι».
Καὶ ταῦτα γὰρ ὁ Διγενὴς ὡς ξένος προσελάλει
τοῦτο λέγων· αὐθέντα μου, εἴπερ ἀποδεκτόν σοι
ὅπως εἴπῃς τῷ στρατηγῷ διὰ συμπεθερίαν,
καὶ εἴπερ ἀρεστόν ἐστι γαμβρὸν ἐμὲ λαβέσθαι,
καὶ ἔχω ὡς πατέρα μου, καθὼς υἱοὺς ὀφείλει,
ὁμοίως καὶ αὐτὸς ἐμὲ καθάπερ ὡς υἱόν του».
Ταῦτα ἀκούσας ὁ πατὴρ πρὸς αὐτὸν τάδε λέγει·
«σὺ μὲν αὐτῷ ἐμήνυσας πολλάκις περὶ τούτου,
καὶ οὐδόλως κατένευσεν ἵνα τοῦτο ποιήσῃ».
Ἀκούσας ταῦθ' ὁ Διγενὴς ποσῶς οὐκ ἐθροήθη,
τὸν ἵππον δ' ἱππηλάλησεν, τῆς κόρης πλησιάζει·
ἐκ τῆς ὀπῆς ἐσκέψατο τὴν κόρην 'ς τὸ κουβοῦκλιν,

καὶ πρὸς ἐκείνην γαληνὰ τοιοῦτον λόγον ἔφη·
«γνώρισόν μοι, κοράσιον, εἰ ἔχεις με 'ς τὸν νοῦν σου,
καὶ εἰ ποθεῖς κατὰ πολὺ γυναῖκα σὲ λαβεῖν με,
καλὸν ἤδη καὶ εὐτυχὲς καὶ ἀρεστὸν τυγχάνει,
εἰ δὲ καὶ ἀλλαχοῦ ποθεῖς, οὐ μή σε ἀναγκάσω».
Καὶ εὐθὺς παρεκάλεσεν ἡ κόρη τὴν βαΐτζαν·
«κατάβηθι, βαΐτζα μου, εἰπὲ τῷ ἀγουρίτζῃ
Θεὸς πληροφορήσει σε, εἰς τὴν καρδίαν μου σ' ἔχω,
ἀλλ' οὐ γινώσκω, ἄγουρε, ποίου γένους ὑπάρχεις·
εἰ μέντοι εἷς ὁ Διγενὴς Βασίλειος ὁ Ἀκρίτης,
ὑπάρχεις ἐκ τῶν εὐγενῶν καὶ τῶν πλουσιωτάτων,
καὶ συγγενὴς ἡμέτερος ὡς ἀπὸ τῶν Δουκῶν γε.
Ἀλλ' ὁ πατήρ μου ὁ στρατηγὸς διὰ σὲ βίγλας ἔχει,
ἤκουσε δὲ παρὰ πολλῶν τὰς σὰς ἀνδραγαθίας·
καὶ φύλαττε, νεώτερε, δι' ἐμὲ μὴ κινδυνεύσῃς,
οὐδόλως δὲ σοῦ φείσεται ὁ ἄσπλαγχνος πατήρ μου».
Παρευθὺς ἡ βαΐτζα της ταῦτα εἶπεν τῷ Ἀκρίτῃ,
εὐθὺς καὶ ὁ νεώτερος τὴν κόρην οὕτως ἔφη·
«παράκυψον, φῶς μου γλυκύ, ἰδεῖν με σοῦ τὰ κάλλη,
ἵνα εἰς τὴν καρδίαν μου ἡ ἀγάπη σου ἔλθῃ·
εἰμὶ γὰρ νέος, ὡς ὁρᾷς, οὐκ οἶδα τί ἔνι ὁ πόθος,
καί, ἂν ὁ πόθος μου, ξανθή, εἰσέλθῃ εἰς τὴν ψυχήν σου,
ὁ πατήρ σου ὁ στρατηγὸς καὶ ὅλον σου τὸ γένος,
βέλη ἐὰν γενήσωνται καὶ ξίφη τε ὁμοίως
δὲν θέλουσι δυνηθῆ ἐμένα νὰ φοβίσουν.
Αὐτὴ δὲ παρακύψασα ἐκ τῆς χρυσῆς θυρίδος
τὸν νέον προσεβλέψατο ἀνδρεῖον τὸν Ἀκρίτην.
Τότε λοιπὸν ὁ Διγενὴς ἔβλεψε καὶ ἐλάλει,
τὰ κάλλη τοῦ προσώπου της ὡς ἥλιος ἔλαμπαν·

οἱ ὀφθαλμοὶ τοῦ Διγενοῦς ἐκώλυον τοῦ Ἀκρίτου
τοῦ μηδαμῶς θεάσασθαι περίβλεπτον τὴν κόρην·
ἦτον ἡ κόρη ἀληθῶς ὡσὰν ζωγραφισμένη
μάτι γοργὸν καὶ γρήγορον, χαρούμενον μεγάλον,
μαλλιὰ ξανθὰ καὶ λαμπερὰ εἶχεν ἡ κόρη ἐκείνη,
ὀφρύδια κατάμαυρα κυρτὰ ὡς τὸ φεγγάρι,
τὸ πρόσωπον ὡς ῥόδον τε ἔκλινεν εἰς ὅλους·
ταύτην ἰδὼν ὁ Διγενὴς ὁ θαυμαστὸς Ἀκρίτης
εὐθὺς ἐτρώθη τὴν ψυχήν, ἐπλήγη τὴν καρδίαν·
ἡ κόρη δὲ ὡς πάντερπνος οὕτως αὐτὸν ἰδοῦσα
οὐ παρεῖδεν ἐπὶ πολὺ νὰ βλέπῃ αὐτοῦ τὸ κάλλος
ἀλλὰ ταχὺ ἀπέστειλε τὴν βάϊαν πρὸς ἐκεῖνον
τὸ δακτυλίδι της ἔστειλε λέγων τοιαῦτα λόγια·
«ἄπελθε χαίρων, ἄγουρε, καὶ μοῦ, λέγ', μὴ ἐπιλάθου».
Ὁ δὲ τοῦτο δεξάμενος μετὰ χαρᾶς μεγάλης,
εὐθὺς ἀνταπεκρίνατο· «ἐκδέχου με τὴν νύκτα».
Καὶ εἰς τὸν οἶκον τὸν αὐτοῦ ὑπέστρεψεν εὐθέως,
ἔχων φροντίδας τε πολλάς, μέριμνάς τε μεγάλας,
καὶ τὸν Θεὸν ἱκέτευεν ἐκ βάθους τῆς καρδίας·
«δέσποτα, ἔλεγε, Θεέ, ἐπάκουσον εὐχῆς μου,
καὶ δύνων μοι τὸν ἥλιον, ἀνάτειλον τὸ φέγγος,
τοῦ ἔχειν τοῦτο συνεργὸν εἰς τὴν ὁδόν μου ταύτην,
ἐπειδὴ περιμένει με ἡ εὐγενικωτάτη».
Καὶ κατ' ἰδίαν ἔλεγε τῷ στράτορί του οὕτως·
«ἀπόστρωσον τὴν βρόχαν μου καὶ στρῶσόν μου τὸν μαῦρον,
δύο γήγκλας σφίγξον αὐτὸν καὶ δύο ἐμπροσθελίνας,
και θὲς αὐτῷ τὴν σέλλαν μου καὶ τὸ σπαθορραβδίτζιν,
ἐπίθες καὶ τὰ ῥέτενα (1) ἵνα καλῶς γυρίζῃ».

(1) Χαλινός.

Καὶ ὁ μὲν στράτωρ του εὐθὺς ὡς προσταχθεὶς ἐποίει,
ὁ δὲ 'ς τὸν ἄριστον κληθεὶς βρώσεως οὐ μετέσχεν,
τὴν κόρην εἶχε κατὰ νοῦν, τὸ κάλλος εἰκονίζων·
ἀπὸ γάρ τε τοῦ ἔρωτος καὶ ἐκ τῆς ἀτροφίας
ἡ ὄψις του ἠλλοίωται, τὸ κάλλος ἐμαράνθη.

## Περὶ τοῦ πῶς ἡ μήτηρ τοῦ 'Ακρίτου ὡμίλει τῷ υἱῷ αὐτῆς.

Τοῦτον ἡ μήτηρ βλέπουσα δαπανισμένον οὕτως,
πρὸς αὐτὸν εὐθὺς ἔλεγεν ἐκ βάθους τῆς καρδίας·
«τί σοι συνέβη, τέκνον μου, καὶ θλίβεσαι τοιούτως;
μὴ θηρίον σε ἔκρουσε καὶ ἐσπάραξε φόβος,
ἢ τίς κακός σ' ἐβάσκανε βλέπων σου τὴν ἀνδρείαν;
ἀπάγγειλόν μου τάχιον, μή μ' ἀποκρύψῃς τοῦτο,
ὥσπερ καὶ Ὅμηρος φησὶν ἐν τῇ ἐκείνου βίβλῳ,
ἐκ στόματος τῆς Θέτιδος πρὸς υἱὸν Ἀχιλλέα.
ἐξαύδα, μὴ κεῦθε τῷ νῷ, ἵνα εἴδομεν ἄμφω·
ὁ γὰρ κρύπτων τὴν μέριμναν ὑπ' αὐτῆς δαπανᾶται,
καὶ ὥς τις λέξας τῶν σοφῶν ἀπόφθεγμα τοιοῦτον·
νοῦς γάρ, φησίν, ἐμμέριμνος, σὴς βιβρώσκων ὀστέα,
καὶ πάλιν ἕτερον φησὶν ἀπόφθεγμα ὡσαύτως·
θάλλει δὲ σῶμα βρότειον φροντίδας παρατρέχον».
«Οὐ θηρίον με ἔκρουσεν, ὁ νέος ἀπεκρίθη,
ἀλλ' οὔτε τίς τε θόρυβος ἐτάραξε ψυχήν μου,
οὔτε δέ τίς μ' ἐβάσκανεν, μὴ μάτην καταρᾶσαι
τὸν μήπω ἀδικήσαντα, ἐγὼ γὰρ ὑγιαίνω».
Ἡ δὲ μήτηρ ὡς ἤκουσεν, ηὔξατο δι' ἐκεῖνον·
«δέσποινά μου πανύμνητε, ἐλπίς μου Θεοτόκε,

δοξάζω, μεγαλύνω σε καὶ υἱὸν τὸν Θεόν σου,
ὅτ' ἔδωκές μοι νεώτερον ὃν ὁ κόσμος οὐκ ἔχει,
καὶ χάρισαί μού τον νὰ ζῇ εἰς χρόνους ἀπεράντους,
νὰ χαίρω τοῦτον βλέπουσα εἰς ἔτη τῆς ζωῆς μου,
νὰ περπατῇ ἀφρόντιστος, νὰ χαίρῃ εἰς τὸν κόσμον,
νὰ τὸν φοβοῦνται πάντοτε ἔθνη τῆς οἰκουμένης!»
Καὶ τότε ὁ νεώτερος γοργὸν ἐξυπολύθη,
τὰ καλίτζα του ἔβγαλεν, ἐκάθησεν εἰς δεῖπνον·
ἀφοῦ δὲ ἀπεδείπνησεν βαίνει εἰς τὸ κουβοῦκλιν,
καὶ βαλὼν ὑποδήματα, λαμβάνει τὴν κιθάραν,
καὶ ἀπεκατέστησεν αὐτὴν ὡς ἤθελεν ἐκεῖνος,
κάλλιστα γὰρ πεπαίδευτο ἐκ μουσικῆς ὀργάνου,
οἴων κλώσας ἔντερα ἐποίησε τὰς κόρδας·
καὶ πάλιν ἡρματώθηκε, 'ς τὸν σταῦλον ἐπορεύθη,
πηδᾷ, ἐκαβαλλίκευσεν τὸν θαυμαστὸν τὸν μαῦρον,
εἰς ὃν ἐθάρρει πάντοτε νικᾷν ὅπου ἀπέλθῃ·
ἔλαβε τὸ σπαθίον του, ἐπῆρε τὴν θαμποῦραν,
ἔκρουε τὴν θαμπουράν του, ἀηδονικὰ ἐτραγῴδει,
ὁπόταν δὲ ἐπέφθασε τοῦ στρατηγοῦ τοὺς οἴκους
τὴν θαμπουράν του ἔκρουε, καὶ χαμηλῶς ἐλάλει·
ἦτον λαμπρὸς ὁ μαῦρός του, ἔλαμπεν 'σὰν τὸν ἥλιον
καὶ τὴν αὐγὴν κατέλαβε τῆς κόρης τὸ κουβοῦκλιν·
αὐτὴ δὲ ἐξεδέχετο αὐτὸν ὅλην τὴν νύκτα,
πρὸς ὄρθρον δὲ ἐνύσταξεν, εἰς ὕπνον παρεδόθη·
καὶ τὴν κιθάραν ἤχησεν, ἀναφωνεῖ καὶ λέγει·
Καὶ σύ, κόρασον τερπνόν, ἀπεμερίμνησάς με,
πιστεύω εἰς λήθην νά 'βαλες τοὺς χθεσινούς σου λόγους,
καλή, οὓς ἐλαλήσαμεν οἱ δύο κατὰ μόνας·
ἀνάστα, ῥόδον πάντερπνον, μεμυρισμένον μῆλον,

αὐγερινὸς ἀνέτειλεν, καὶ ἄς περιπατοῦμεν.
Καὶ ὡς τῆς κιθάρας ἤκουσε τὴν ἡδονὴν ἡ κόρη
ἠγέρθη ἐκ τῆς κλίνης της, περίσφιξε τὴν ζώνην,
ἐκ τῆς θυρίδος ἔσκυψε, τὸν νέον προσεφώνει·
αὐθέντα μου, ἂν καταβῶ, καὶ μετὰ σοῦ ἐξέλθω
φοβοῦμαι μὴ μᾶς φθάσωσι ἅπαν τὸ γονικόν μου
καὶ σένα θανατώσωσι, καὶ μένα ἐντροπιάσουν.
Λυπήθηκεν ὁ Διγενής, καὶ εἶπεν πρὸς τὴν κόρην·
ἀλλ' ἔστω σοι γνωστὸν καὶ βέβαιον, ψυχή μου,
ὅτι φουσάτο προσδοκῶ μόνος μου πολεμῆσαι,
καὶ νικῆσαι παρεμβολάς, κάστρα νὰ ὑποτάξω,
καὶ σὺ πατέρα με λαλεῖς, ἀδελφοὺς καὶ ἀγούρους.
καὶ συγγενεῖς σου μετ' αὐτῶν: τούτους ἔχω ὡς βρέφη·
κουρούναις πῶς δύνανται τὸν ἀετὸν νὰ πιάσουν;
τοῦτο νὰ μάθω μόνον ζητῶ ἀπ' τὰ δικά σου χείλη,
ὡς προθυμεῖς κατὰ πολλὰ νά μου ἀκολουθήσῃς.
Καὶ τὸν νεώτερον εὐθὺς ἡ κόρη μετελάλει·
ἐμέ, χρυσὲ αὐθέντα μου, νέε μου καὶ ἀνδρεῖε,
μεγιστᾶνοι καὶ ἄρχοντες τῶν βασιλέων τέκνα
ἀγάπησαν, ἠθέλησαν πολλάκις νά με πάρουν.
Πρὸς σὲ καὶ μόνον, ἄγουρε, καὶ πρὸς τὴν σὴν ἀγάπην,
δι' ἣν ἀρνοῦμαι τοὺς γονεῖς καὶ συγγενεῖς στεροῦμαι.
Βλέπωντας δὲ ὁ θαυμαστὸς δακρύουσαν τὴν κόρην
μετὰ δακρύων καὶ αὐτὸς ἐλάλει πρὸς ἐκείνην·
«Δέσποτα Κύριε ὁ Θεός, ὁ κτίσας τοὺς αἰῶνας,
εἰνᾶ θελήσω ἐγώ ποτε λυπῆσαι τὴν ψυχήν σου
ἢ θλίψω τὴν καρδίαν σου, πανωραιοτάτη,
καὶ δὲν φυλάξω ἄδολον τὴν ἰδικήν σου ἀγάπην».
Ταῦτα ἡ κόρη ὡς ἤκουσεν, οὕτως τὸν ἀπεκρίθη·

«Ἰδοὺ καλὲ μετὰ Θεὸν σοὶ ἐμαυτὴν προσρίπτω·
εἴ τι ποιήσεις εἰς ἐμὲ Θεὸς με τὴν ψυχήν σου».
Καὶ παρευθὺς ἐπήδησεν ἐκ τῆς χρυσῆς θυρίδος·
ὀρθὸς ἐκεῖνος στέκεται, τὴν κόρην ἀγκαλιάζει,
τὸν δρόμον ἐπορεύοντο μετὰ χαρᾶς μεγάλης·
ὡσὰν ἐγέμωσε χαρὰν ὁ Διγενὴς ἐκεῖνος
ἐστάθη εἰς τὸ σπίτι ἀντικρύ, μεγάλην φωνὴν ἀφῆκε·
«Εὔχου μοι, Κὺρ Στρατηγέ, μετὰ τῆς θυγατρός σου,
καὶ εὐχαρίστει τὸν Θεὸν ἔχων γαμβρὸν τοιοῦτον·
καὶ τὴν φωνήν του ἤκουσαν τοῦ στρατηγοῦ αἱ βίγλαι·
ἤκουσε καὶ ὁ στρατηγὸς φωνῆς τῆς τοῦ ἀγούρου·
«ἡ κόρη μου ἐχάθηκεν, ἀλλοίμονον 'ς ἐμένα».
Στρατήγισσα ἐλάλησε, ἠλάλαξε βοῶσα·
«οἴμοι, τέκνον μου γλυκύτατον, φῶς καὶ παρηγορία,
πῶς τοῦτο ἐσυνέβηκεν, ἐχάσαμέν σε νέαν».
Λόγος ἐδόθη φοβερός, ταχέως ὅλοι νὰ πηγαίνουν,
εὐθὺς ἐκαβαλλίκευσαν ἅπαντες διὰ τάχους,
καὶ ὁ πατέρας της ὁμοῦ μετὰ τῶν ἀδελφῶν της,
καὶ κατεδίωκον αὐτὸν μετὰ πολλοῦ τοῦ δρόμου·
ὅτε ἤρχισεν ἡ ἀνατολὴ καὶ γέλασεν ἡ ἡμέρα,
'ς τὸν κάμπον ἐκατάφθασαν τὸν νέον μὲ τὴν κόρην.
Τότε ἐσήκωσε τὴν λιγερὴν 'ς τὴν γῆν τὴν ἀποθέτει,
αὐτὸς ἐκαβαλλίκευσεν, ἐπῆρεν τὸ κοντάρι,
καὶ πρῶτον προϋπάντησεν Νασύριόν τινα δοῦλον,
κ' εὐθὺς ἀπεθανάτωσε κεῖνον καὶ τ' ἄλογόν του·
καὶ ἄλλοι τριακόσιοι ὄπισθεν τὸν ἐφθάνουν,
καβαλλαραῖοι καὶ πεζοὶ ἦλθασι πρὸς ἐκεῖνον.
Ἐγύρισεν ὁ Διγενής, καὶ λάλησε τὴν κόρην·
«Περιστερά μου εὔμορφη, βλέπε, λαὸς μᾶς διώχνει».

Ἡ Εὐδοκία ὡς ἤκουσε τὸν λόγον, ὅπου εἶπεν,
ἐλόγιασε τὸν λόγον του, πῶς διὰ φόβον λέγει.
Ἰδοῦσα δὲ καὶ τὸν λαὸν ἐλθόντα ἀπὸ μακρόθεν,
καὶ τὰς φωνὰς ἀκούωντας, ὁμοῦ καὶ ταὶς τρομπέταις,
καὶ κλαίουσα ἐφώναζε πρὸς τὸν Ἀκρίταν ταῦτα·
«ἄφες, ἀφέντη καὶ καλέ, ἐδῶ νὰ ἀποθάνω,
ἐπειδὴ κακῶς ἐποίησα, κακῶς ἀποθανοῦμαι,
ἐσὺ μαῦρον καλὸν ἀνέθρεψας, τὸν σεαυτόν σου σῶσον»·
καὶ τότε ὁ νεώτερος ταύτην ἀνταπεκρίθη·
«μή σου φανῇ, κυρία μου, ὅτι κακῶς σοι εἶπα,
σκόπει, κυρία μου χρυσῆ, λαόν, ὅπου μας τρέχει,
μή με προπάρουν αὔριον ὅτι μετὰ κλεψίας
ἔλαβόν σε καὶ ἔφυγον ἀπὸ τῆς σῆς πατρίδος·
ἔτι δὲ βλέψον τὴν φρικτὴν ἐμὴν ἀνδραγαθίαν,
καὶ πλέον με ἀγάπησον τὸν σὲ πολλὰ ποθοῦντα».
Καὶ δὴ μικρὸν παραδραμὼν Ἀκρίτης ὁ γενναῖος,
εὐθὺς τὴν κόρην ἔλαβεν ἐκ τῆς χειρὸς ἐκεῖνος,
καὶ ἀνεκάθισεν αὐτὴν εἰς πέτραν ῥιζιμαίαν
καὶ ταύτην ἐπαρήγγειλεν λέγων τοιοῦτον λόγον·
«αὐτοῦ κάθου, φῶς μου γλυκύ, καὶ βλέπε τίνα ἔχεις».
Καὶ πάλιν ἡ εὐγενικὴ πρὸς τὸν ἄγουρον λέγει·
«τοὺς ἀδελφούς μου πρόσεχε μηδὲν τοὺς ἀδικήσῃς».
Εὐθὺς οὖν ἱππηλάλησε καὶ πρὸς αὐτοὺς ἐκτρέχει·
ἕνα προφθάσας ἐξ αὐτῶν δέδωκέ τον σπαθέα,
καὶ μέσον τὸν ἐχώρισεν σὺν τῷ ἰδίῳ ἵππῳ,
τοὺς δὲ ἄλλους κατεπάτησεν, ἀπράκτους ἀπεργάσας.
Καὶ ὁ νέος ὡμοίαζεν ὥσπερ καλὸν γεράκιν,
ὅταν τὴν πέρδικα ἰδῇ, κύπτει καὶ τὴν λαμβάνει·
οὕτως ἐσκόρπιζεν αὐτοὺς ἐκεῖνος πολεμίζων·

τρεῖς ἐξ αὐτῶν ἐγνώρισεν κ' ἦσαν οἱ ἀδελφοί της,
οἵτινες προσώρμησαν μόνοι ἀνδραγαθῆσαι,
τοὺς ἵππους ἐπηλάλησαν, ἤρχοντο πρὸς τὴν κόρην,
τότ' ὁ Ἀκρίτης φοβηθεὶς μήπως αὐτὴν ἁρπάσουν
καὶ πλησιάσας πρὸς αὐτοὺς ὠπισθαπόδισέν τους.
Καὶ πάλιν ἐβουλήθησαν ὥστε αὐτὴν ἐπάρειν·
γοργὸν ἐπῆρε τὸ ῥαβδὶν καὶ προσυπήντησέν τους,
ῥαβδέαν αὐτοῖς δέδωκεν μετὰ μικρᾶς ἰσχύος,
καὶ τούτους κατεκρήμνισε, μηδὲν αὐτοὺς πληγώσας.
Τότε ὁ πατὴρ ὁ στρατηγὸς ἔφθασε μετὰ μόχθου,
κλαίων καὶ ὀδυρόμενος θεάσασθαι τὴν παῖδα.
Καὶ ὡς εἶδεν ὁ Διγενὴς τὸν πενθερόν του Δοῦκα
ἀπὸ μακρὰν ἐρχόμενον, ἐπροσυπήντησέν τον,
καὶ ταῦτα λέγει σύντομα μετὰ πολλῆς ἀγάπης·
«εὔχου με, κύρι στρατηγέ, μετὰ τῆς θυγατρός σου,
συγχώρησον, αὐθέντα μου, μηδέν με καταμέμφῃ·
οἱ ἄγουροί σου χωρικοὶ τοῦ κρούειν καὶ λαμβάνειν,
μικρὸν αὐτοὺς ἐπαίδευσα, τοῦ μὴ λαθεῖν ἐκείνους.
Καὶ πλέον μηδὲν λυπηθῇς, καλὸν γαμβρὸν ἐπῆρες,
εἰς κόσμον ἂν ἐγύρευες κάλλιον οὐκ εὑρίσκεις,
οὐ γάρ εἰμι ἐξ ἀγενῶν, οὐδ' ἀπὸ τῶν ἀνάνδρων,
καί, ἄν ποτε προστάξῃς με εἴς τινάς σου δουλείας,
τότε βεβαιωθείης ἂν οἷον γαμβρὸν ἐπῆρες».
Καὶ παρευθὺς ὁ στρατηγός, χεῖρας εἰς ὕψος ἄρας
καὶ ὄμματα πρὸς ἀνατολάς, τῷ Θεῷ ηὐχαρίστει·
«δόξα σοι, λέγων, ὁ Θεός, ὁ τὸ συμφέρον πάντων
οἰκονομῶν τὸ καθ' ἡμᾶς σοφίᾳ τῇ ἀρίστῃ,
εὐχαριστῶ σε, Κύριε καὶ ποιητὰ τῶν ὅλων,
εἰς τὴν φιλανθρωπίαν σου τὴν πρὸς ἐμὲ δειχθεῖσαν,

ὡς γὰρ αὐτὸς ἠθέλησας τοιοῦτον ἐγεγόνει,
καὶ ἐδωρήσω μοι γαμβρόν, ἀνδρειωμένον νέον».
Κ', ἐπιστραφεὶς πρὸς τὸν γαμβρόν, λέγει αὐτῷ τοιάδε·
«ἆρον, παγκάλλιστε γαμβρέ, ἣν ἔλαβες ἐκ πόθου,
εἰ γὰρ μὴ πόθον ἄπειρον εἰς αὐτὴν ἐπεκτήσω,
οὐκ ἂν μόνος ἐτόλμησας τοιοῦτον διαπρᾶξαι·
καὶ δεῦρο ὑποστρέψωμεν εἰς τὸν ἐμὸν γὰρ οἶκον,
καὶ μὴ λογίζου πονηρόν τι παρ' ἐμοῦ γενέσθαι,
λάβῃς δὲ καὶ τὴν προῖκά σου ἐκ ταύτης τῆς ἡμέρας,
κιντηνάρια εἴκοσι, νομίσματα παλαῖα,
βεστιάρια τιμητὰ πεντακοσίας λίτρας,
καὶ κτήματα πολυείσοδα 'ς τὴν ἐμὴν θυγατέρα,
μετὰ πάντων τῶν ὑπ' αὐτῶν εὑρισκομένων ζώων,
πρωτεῖα τετρακόσια, στράτορας ὀγδοῆντα,
μαγείρους δεκατέσσαρας, ὁμοίως καὶ μαγκίπους,
καὶ ἕτερα ψυχάρια ἑκατὸν καὶ πενῆντα,
καὶ ἑβδομήκοντα αὐτῆς παγκαλίτζας βαΐτζας,
ἐγκόλπια πολύτιμα, ἃ ἔχει τῆς μητρός της,
καὶ στέφανον ὁλόχρυσον μετὰ τιμίων λίθων.
Καὶ ταῦτα μὲν ἐπέλαχον τῇ θυγατρί μου μόνῃ,
δώσομεν καὶ προτίμησιν τῶν ἄλλων μου παιδίων.
Πείσθητί μοι, καλὲ γαμβρέ, καὶ ἐλθὲ πορευθῶμεν
ταχέως πρὸς τὸν οἶκόν μου παραμυθίας χάριν,
ἴδῃ σε κ' ἡ στρατήγισσα μετὰ μεγάλου πόθου,
εὐχαριστήσῃ καὶ Θεόν, καὶ χαίρῃ εἰς τὸν κόσμον,
καὶ μὴ λέξωσιν ἅπαντες οἱ συνομήλικοί σου,
καὶ κόρην γὰρ ἀφήρπασας καὶ προῖκα οὐ λαμβάνεις,
καὶ θαυμαστὸν οὐδέν ἐστιν, ἀλλὰ αἰσχύνην ἔχεις».
Εἶτα καὶ ὁ νεώτερος τῷ στρατηγῷ ἀντέφη·

«ἐγώ, αὐθέντη πενθερέ, ἐπιθυμίαν εἶχον
τὴν θυγατέρα σου λαβεῖν διὰ τὸ ταύτης κάλλος,
οὐχὶ δὲ πλούτου ἕνεκεν, οὔτε τινῶν χρημάτων,
καὶ ταῦτα μὲν χαρίζομαι τοῖς γυναικάδελφοίς μου,
ἧς τὰ κάλλη ἀρκοῦσί με ἀντὶ πολλῶν προικίων·
Θεὸς γὰρ πλούτου πάροχος καὶ πενίας ὡσαύτως,
ταπεινοῖ γὰρ καὶ ἀνυψοῖ, κατάγει καὶ ἀνάγει,
μόνον ἂν θέλῃς, πενθερέ, ποιήσωμεν τοὺς γάμους
ἔλθετε εἰς τὸν οἶκόν μου μετὰ τῶν συγγενῶν σου,
ἵνα μᾶς εὐλογήσητε, καὶ πάλιν νὰ στραφοῦμεν
εἰς τὸν οἶκόν σου ὄπισθεν μετὰ τῆς θυγατρός σου,
νὰ μᾶς ἰδῇ ἡ στρατήγισσα, νὰ χαίρῃ ἕως τέλους·
εἰ δὲ οὐ θέλεις ἔρχεσθαι, ἰδοὺ ἐγὼ λαμβάνω
τὴν καλὴν θυγατέρα σου, καὶ συντόμως ὑπάγω
εἰς τὸν ἴδιον οἶκόν μου καὶ εἰς τὰ ἴδιά μου·
μὴ λυπηθῇς, ὦ πενθερέ, διὰ τὸν λόγον τοῦτον·
τέκνα γὰρ εἴμεσθεν λοιπὸν καὶ δοῦλοι τῶν εὐχῶν σου.
Ἀκούσας οὖν ὁ στρατηγὸς τὴν φρόνησιν τοῦ νέου,
«Θεὸς δέ, ἔφη, τέκνον μου, ἐσᾶς νὰ εὐλογήσῃ,
νὰ χαίρεσθε δὲ ἄξιον τοὺς χρόνους τῆς ζωῆς σας».
Καὶ ἀσπασάμενος αὐτὸν ὑπέστρεψεν εὐθέως.
Ὁ νέος καβαλλίκευσεν, ἐγύρισε ᾽ς τὴν κόρην,
ἐκείνη δέ, ὡς εἶδέν τον, χαρὰν μεγάλην εἶχεν,
ἐπεριπάτει γαληνά, προϋπαντεῖ τὸν νέον·
Ἀκρίτας δὲ πηγαίνωντας μετὰ τῆς ποθητῆς του,
καὶ οὕτως ἐπανῆλθοσαν καλῶς πρὸς τὴν πατρίδα.
Ὁ πατήρ του ὡς ἤκουσε τὸν ἐρχομὸν ἐτούτου,
ὅλος ἐγένετο χαρά, εὐθὺς καβαλλικεύει,
οἱ τούτου γυναικάδελφοι σὺν θείῳ Κωνσταντίνῳ,

καὶ ἅπασα ἡ γενεὰ μετὰ λαοῦ ἀπείρου.
Ἰδοῦσα δὲ ἀπὸ μακρὰν εὐθὺς ἡ κόρη τούτους,
καὶ τὰς φωνὰς ἀκούσασα βουκίνων καὶ σαλπίγγων,
ἐφοβήθη κατὰ πολλά, δοκοῦσα εἶναι ξένοι·
«λαὸς πολύς, ἔλεγε, τὸν δρόμον καταβαίνει,
βλέπε μὴ ὡς ἀλλότριοι ἡμᾶς ἀποχωρίσουν».
Ἐκεῖνος εὐθὺς ἀπεκρίνετο δὲ πρὸς τὴν κόρην·
«μὴ τρέμης, κόρη μου χρυσῆ, αὐτοὺς ὅπου κινοῦνται.
Καὶ δι' ἡμᾶς ἐπέρχονται, ἵνα ἀπαντηθῶμεν».
Καὶ πάλιν ἡ πανεύγενος, ὡς ἤκουσεν, ἐχάρη,
καὶ τὸν ἄγουρον βλέπουσα τοιούτως παρεκάλει·
«αἰσχύνομαι, αὐθέντα μου, ὅτι μόνη τυγχάνω,
πῶς τοῦ πατρός μ' οὐκ ἤκουσας στραφῆναι εἰς τὸν οἶκον
καὶ ὁ πατήρ μου ἄρτι ἦν μετὰ τῶν ἀδελφῶν μου,
καὶ πάσῃ μου τῇ γενεᾷ καὶ τῷ λαῷ τῷ ἀπείρῳ·
εἶχον καὶ τὰς βαΐτζας καὶ τὴν ἐξόπλισίν μου,
καὶ οὕτως νὰ ἐρχόμεθα μετὰ μεγάλης φήμης».
Καὶ πάλιν ὁ νεώτερος ἀνταπεκρίθη λέγων·
«μὴ λυπῆσαι, ὡραία μου, διὰ τὴν μοναξίαν,
καὶ γὰρ πάντες γινώσκουσιν, εἰ καὶ μόνη τυγχάνεις,
καὶ τούτου ἕνεκεν οὐδεὶς ἔχει τι μέμψασθαί σε».
Ἕξη συρτὰ παρέσυρναν ἀπὸ τῆς ἁρπαγῆς της,
ἦσαν ἐκεῖνα πάντερπνα τὰ σελλοχάλινά των
ἅτινα ἔλαβεν αὐτὸς ὁ Διγενὴς Ἀκρίτης,
ὁπότε ἐπολέμησε τοὺς ἄνδρας τοῦ πατρός της.
Καὶ ὅτ' ἡνώθησαν εὐθὺς ἠσπάσθησαν ἀλλήλους,
κ' ἐπέζευσεν ὁ Διγενὴς μετὰ τῆς ποθητῆς του,
ἐπέζευσε καὶ ὁ ἀμηρᾶς, κ' ἠσπάσατο τοὺς δύο,
καὶ εὐχὰς ἐκ βάθους ψυχῆς πρὸς αὐτοὺς οὕτως ἔφη·

«Θεὸς ὁ πάντων ποιητὴς ὑμᾶς εὐλογησάτω,
ὁ κτίσας γῆν καὶ οὐρανόν, καὶ θάλασσαν ποιήσας,
ὑμᾶς εἴθ' ἀξιώσειεν χαρῆναι εἰς τὸν κόσμον,
αὐξήσῃ καὶ τὰ ἔτη σας ἐν εἰρήνῃ καὶ πλούτῳ,
καὶ βασιλείας τῆς αὐτοῦ κληρονόμους ποιήσῃ!»
Καὶ τὴν κόρην ἐκάθισε ἐπὶ ὡραίου ἵππου,
ἔχοντος σέλλαν χυμευτήν, λαμπρῶς εὐτρεπισμένην,
στέφανον πολυτίμητον αὐτὴν περιβαλόντες·
καὶ ὁ λαὸς ἐπήρχετο μετὰ πολυχρονίων,
καὶ μετὰ πάσης ταραχῆς καὶ μετὰ ὀψικίου·
ἐδώκασι τὰς σάλπιγγας, ὑπέστρεψαν εὐθέως.
Χαρὰν δὲ τὴν ὑπέρλαμπρον, τὴν τότε γενομένην,
τίς ἐξισχύσει ἐξειπεῖν καὶ ταύτην διηγῆσαι;
ὥστε κ' ἡ γῆ μὲν ἔχαιρε καὶ ἔθαλλε τῇ τέρψει,
τὰ ὄρη δὲ ἐσκίρτησαν, αἱ πέτραι ἀηδονοῦσαν,
οἱ ποτάμ' ἀνεχαίτιζον ὑπὸ χαρᾶς ἐκείνης·
ὅτε δὲ ἐπλησίασαν ἐγγὺς ἐπὶ τὸν οἶκον,
ἐξῆλθε κ' ἡ στρατήγισσα εἰς ἀπαντὴν τῶν νέων,
καὶ μετ' αὐτῆς ἡ πάντερπνος μήτηρ ἡ τοῦ Ἀκρίτου,
μετὰ πλήθους λαοῦ πολλοῦ καὶ δόξης τῆς μεγάλης,
καὶ κατησπάζοντο αὐτοὺς ἅπαντες μετὰ πόθου·
ὁ ἔρως δὲ ἐπλήρωσε τῶν νέων τὰς ἐλπίδας,
καὶ πάντα τὰ θελήματα καὶ τὰ ἀρέσκιά των.
Εἰς δὲ τὸν οἶκον φθάσαντες ὁ ἀμηρᾶς ἐκπέμπει
τοὺς γυναικαδέλφους αὐτοῦ καὶ τοὺς αὐτοῦ ἀγούρους,
ἵν' εἴπωσι τῷ στρατηγῷ καὶ ἐλθεῖν εἰς τὸν γάμον.
Καὶ παρευθὺς ὡς ἤκουσεν ὁ στρατηγὸς ἐκεῖνος,
τὰς προῖκας ᾠκονόμησε κ' ἔπεμψε πρὸς τὴν κόρην,
καὶ δέδωκε χαρίσματα τῷ θαυμαστῷ Ἀκρίτῃ,

ἵππους ἀρίστους δώδεκα καὶ παμμεγέθεις μαύρους
μετὰ βλαττίων ἐκλεκτῶν ἐπάνω σκεπασμένους,
χυμευτὰ σελλοχάλινα μετὰ χρυσῶν σμυρίδων,
ἱέρακας κἂν δώδεκα μουσάτους, Ἀβασγίκους·
δώδεκα πάρδους διαλεκτούς, δοκιμασμένους πάνυ,
ὡς καὶ βαΐτζας δώδεκα, καὶ δώδεκα τζουπάδας,
καὶ χυμευτὰ ἱμάτια, πολύτιμα τὰ ἔργα·
λευκοτρυβλάτα δώδεκα καΐστορα ὁμοίως,
καὶ χρυσοκόκκινον σκηνὴν, ὡραίαν παμμεγέθη,
σχοινία ὁλομέταξα καὶ ἀργυροῖ οἱ πάλοι·
δύο εἰκόνας χυμευτὰς ἁγίων Θεοδώρων,
εἶχον λιθάρι' ἀτίμητα, λυχνίας, ὑακίνθους·
κοντάρια ἀράβικα παγκάλλιστα ὡς δέκα,
καὶ τοῦ Χοσρόου τὸ σπαθὶν τὸ περιφημισμένον·
καὶ λέοντα τὸν ἔφερεν, θηριὸν ἡμερωμένον,
(ἡ κόρη αὐτοῦ ἔχαιρεν καὶ αὐτὸς δὲ Ἀκρίτης)
καὶ κτήματα ἀρίθμητα ἐπέδωκεν νὰ ἔχουν,
λογάριόν τε περισσόν, καὶ δούλους καὶ δουλίδας,
καὶ διαφόρους στολισμοὺς καὶ τὴν λοιπὴν οὐσίαν·
ἡ προῖξ αὐτοῦ ἀνέβαινεν ἑξῆντα μυριάδες.
Καὶ ταῦτα μὲν ὁ στρατηγὸς χαρίσματα παρέσχε
Βασιλείῳ τῷ ἑαυτοῦ γαμβρῷ καὶ τῇ φιλτάτῃ·
ὡσαύτως καὶ ὁ Ἀμηρᾶς θεώρετρα παρέσχε
τῇ νύμφῃ τῇ εὐγενικῇ ἐκείνῃ τῇ ὡραίᾳ·
ὁμοίως κ' ἡ στρατήγισσα, καὶ ἡ μήτηρ τοῦ Ἀκρίτου,
κ' οἱ πέντε αὐτῆς ἀδελφοὶ καὶ οἱ συγγενεῖς πάντες.
Ὁ δὲ καλὸς Βασίλειος Ἀκρίτης ὁ γενναῖος
τὴν κόρην εὐλογήθηκεν, ὡς ὁ νόμος κελεύει
χριστιανῶν τῶν εὐσεβῶν, καὶ γαμετὴν ἐποῖκεν.

καὶ τριμηναῖον γὰρ καιρὸν ἐκτελοῦσι τὸν γάμον,
καὶ ὁ πατήρ του Ἀμηρᾶς καὶ δέσποινα ἡ μήτηρ
τοῦ Διγενοῦς τοῦ θαυμαστοῦ, καὶ οἱ ἀδελφοὶ ταύτης,
μετὰ ἀπείρου πλήθους τε καὶ μετὰ τῶν ἀρχόντων,
καὶ ὁ ἐκείνου πενθερός, σὺν τῇ γενεᾷ πάσῃ,
πάντες ὁμοῦ συνέχαιρον τὰ πλεῖστα εὐωχοῦντες,
παίζοντες σὺν ὀργάνοις τε ἅμα καὶ τοῖς τυμπάνοις·
μετὰ οὖν τὴν συμπλήρωσιν τῶν τριμηνῶν τοῦ γάμου
ὁ Διγενὴς ἐτίμησεν τὸν πενθερὸν ἀξίως,
κ᾽ ἔτυχε συγχωρήσεως καὶ τῆς εὐχῆς του τότε·
ἔπειτα δὲ ὁ στρατηγὸς ὁ θαυμαστὸς ἐκεῖνος,
χαίρων καὶ ἀγαλλόμενος, ὑπέστρεψεν εἰς οἶκον
τὸν ἑαυτοῦ μετὰ πολλῶν στρατιωτῶν ἀνδρείων·
ὁ δὲ καλὸς νεώτερος καὶ Διγενὴς Ἀκρίτης
διῆγε σὺν τῇ γαμετῇ τερπόμενος, καὶ χαίρων
τὰ κάλλη τὰ παμφίλτατα τῆς ὡραίας τρυγόνος·
μετὰ δὲ ταῦτα καὶ αὐτὸς ἐπῆρε τὴν καλήν του
καὶ τοὺς καλοὺς ἀγούρους του, κ᾽ ἐξῆλθεν εἰς τὰς ἄκρας,
καὶ τοὺς τόπους κατέλαβεν ἐκείνους τοῦ πατρός του·
κ᾽ ἔσπευδε τοὺς ὁλοσχερῶς ἀτάκτους ἀφανίσαι,
κ᾽ εἰς τὰς κλεισούρας ἔτρεχεν καὶ εἰς αὐτὰς τὰς ἄκρας·
διὰ τοῦτο ἐπωνόμαστο Ἀκρίτης τὸ ἐπίκλην·
πολλοὺς μὲν αὐτῶν ἔτρωσεν πολλοὺς δ᾽ ἔπεμψ᾽ εἰς ᾅδην.
Καὶ τότε τὰ ῥωμαϊκὰ μέρη τῶν ὀρθοδόξων
ἐν εἰρήνῃ ἐτύγχανον ἔχοντα ὡς προστάτην
καὶ φύλακα καὶ βοηθὸν καὶ πρόμαχον ἐκεῖνον
ἐκ πάντων πολεμίων τε καὶ φόνων τῶν ἀπείρων.
Πόθον δὲ εἶχεν ἄπειρον τοῦ μόνος διοδεύειν
καὶ μόνος του ἀνδραγαθεῖν χωρίς τινος συμμάχου·

ὅπου γὰρ ἐπορεύετο σκηνὰς ἰδίας εἶχεν·
σκηνὴν γὰρ εἶχεν ἴδιον περικαλλῆ τῷ ὄντι,
εἰς ἣν ἡ κόρη καὶ αὐτὸς ἀνεπαύοντο μόνοι,
σκηνὴν εἶχον αἱ βαίαις της, καὶ σκηνὴν οἱ ἀγοῦροι·
ἐκ διαστήματος πολλοῦ ἀπέχουσαι αἱ τένται·
ὁπόταν δὲ μετοίκησιν ἐβούλετο ποιῆσαι,
ὅσους ἀγούρους ἤθελε, τόσους φανοὺς ἀνῆπτε·
οὐδεὶς ἐτόλμησε ποτὲ παραστῆναι πλησίον,
γέγονε δὲ κατὰ πολὺ φοβερὸς ὁ Ἀκρίτης,
ὥστε ἡ θεωρία του ἐποίει τὴν δειλίαν.
Μιᾷ γὰρ ἐκ τῶν ἡμερῶν, μάγειρός τις χολιάζει,
καὶ ῥάπισμα τὸν ἔδωκε τὸν ἄθλιον ἐκεῖνον,
καὶ παρευθὺς οἱ ὀφθαλμοὶ ἐξῆλθον τοῦ ἀθλίου·
ἔμεινε δὲ μέχρι θανῆς ὡς ἀπολελυμένος.
Ἔκτοτε δὲ παρήγγειλε μή τις αὐτῷ ἐγγίσαι
ἐκτὸς τῆς κόρης τῆς αὐτοῦ τῆς εὐγενικωτάτης,
μεθ' ἧς καὶ μόνος ἔχαιρεν ἐφ' ὅλης τῆς ζωῆς του.
Τροφαὶ δ' αὐτοῖς ἐτύγχανον ἔλαφοι καὶ πουλία,
αἶγες καὶ χοῖροι ἄγριοι καὶ πᾶν κυνῆγιν ἄλλον.
Ζῆλος δ' ἀνῆψεν εἰς πολλοὺς ὥστε αὐτοὺς χωρίσειν·
ὁ λόγος οὖν κατὰ μικρὸν παραδηλώσει τούτους,
καὶ ἔχετε μαθεῖν παντὰς πῶς ὑποτάσσει μόνος,
καὶ πῶς ἐκατεφόβησεν ὅλην Βαβυλωνίαν,
καὶ ἀκουστὸς ἐγένετο εἰς ἅπαντα τὸν κόσμον,
ὁ θαυμαστὸς ἀνδροβορὸς Ἀκρίτης ὁ γενναῖος,
ὃν ἐφοβήθησαν πολλὰ αἱ ἄκραι τῆς Συρίας.
Ὡσαύτως καὶ ὁ βασιλεὺς ὁ μέγας τῶν Ῥωμαίων,
Ῥωμανὸς ὁ πανευτυχὴς κι' ἄριστος τροπαιοῦχος,
ἀκούων τὰ τοῦ Διγενοῦς Ἀκρίτου Βασιλείου

πόθον ἔσχεν ἀφόρητον καὶ μεγίστην ἀγάπην
τοῦ ἰδεῖν τὸν νεώτερον καὶ τιμῆς ἀξιῶσαι·
τότε γὰρ καὶ διέτριβεν μέρει Καππαδοκίας,
ἐκστρατεύσας κατὰ ἐχθρῶν τῶν ἐκ τῶν μαγουλίων.
Βασίλειος δ' ὁ θαυμαστὸς ἔτυχεν εἰς τὰς ἄκρας,
ταύτας φυλάσσων ἀκριβῶς, ὡς μηδενὸς τολμῶντος
ἄνευ προστάξεως αὐτοῦ διαπεράσ' ἐκεῖθεν.
Γράφει δ' αὐτῷ ὁ βασιλεὺς ἐπιστολὴν τοιαύτην·
«μὴ κατοκνήσῃς, βέλτιστε, πρὸς ἡμᾶς πορευθῆναι·
ἤκουσε γὰρ παρὰ πολλῶν ἡ ἐμὴ βασιλεία
περὶ τῶν κατορθώσεων καὶ ἀνδραγαθιῶν σου,
καὶ πόθον ἔσχηκα ἰδεῖν τὴν σὴν ὡραίαν ὄψιν,
ὅπως τῷ πλάστῃ Θεῷ ἀναπέμψω τὴν χάριν,
τῷ δόντι σοι τὴν δύναμιν, ἰσχύν τε καὶ ἀνδρείαν
τοσαύτην ὑπεράνθρωπον ἐν τῇ γενέσει ταύτῃ·
λήψῃ δέ μοι τὴν ἀμοιβὴν ἐκ χειρὸς τοῦ κυρίου,
ἐλθὲ δὲ χαίρων, ἄγουρε, ἡμῶν μὴ ἐπιλάθῃς».
Ὁ δὲ ταῦτα δεξάμενος ἀντιγραφὴν ἐκπέμπει·
«ἐγὼ γάρ, λέγει, δέσποτα, σὸς δοῦλος νῦν τυγχάνω,
καὶ εἰ ποθεῖς, ὡς ἔγραψας, ἰδεῖν ἄχρηστον ἄνδρα,
λάβε ὀλίγους μετὰ σοῦ καὶ ἐλθὲ 'ς τὸν Εὐφράτην,
κἀκεῖ με ὄψει, δέσποτα, τὸν σὸν ἀχρεῖον δοῦλον·
καὶ γὰρ πτοοῦμαι, βασιλεῦ, πολλοῦ τοῦ στρατοπέδου,
μήπως ἀπάρξωνταί τινες ἐκ τούτων με τοῦ ψέγειν,
καὶ λυπηθεὶς χαρίσωμαι ῥώγαν ἐκ τῶν χειρῶν μου·
ἡ γὰρ νεότης, δέσποτα, ἔχει πολλὰς μωρίας».
Ἔχαιρε δὲ ὁ βασιλεὺς ἀκούσας τῆς γραφῆς του·
καὶ ἔλεγε τοῖς ἄρχουσι μετὰ χαρᾶς μεγάλης
ὅτι εὑρέθη ἄνθρωπος καλὸς τῇ βασιλείᾳ

οἷος οὐκ ὤφθη πώποτε τοιοῦτος ἐν τῷ κόσμῳ.
Ἀπῆλθε δέ, ὡς εἴρηται, τοῦ ἰδεῖν τὸν Ἀκρίτην,
ἐπιλαβὼν μεθ᾽ ἑαυτοῦ ἑκατὸν στρατιώτας·
σὺν τούτοις παραγέγονεν εἰς ποταμὸν Εὐφράτην.
Ἐκεῖσε τοῦτον διελθὼν μετ᾽ ὀλίγων ἀγούρων
περιχαρῶς ἐφίλησε, τὸ μέγεθος θαυμάσας
τῆς καλῆς τε καὶ θαυμαστῆς τοῦ νέου ἡλικίας,
«οὐ χρῄζεις, λέγων, τέκνον μου, ἐπαίνου ἀλλοτρίου,
σχολάζει οὖν ὁ ἔπαινος, ἀληθείας φανούσης·
λοιπόν, τέκνον μου, λέγε μοι πεπαρρησιασμένως,
καὶ εἴ τι χρῄζεις δώσω σοι ἐξ ἐμῆς βασιλείας».
Ὁ δὲ Ἀκρίτης πρὸς αὐτὸν δουλικῶς ἀπεκρίθη·
«καλῶς ἔχοιο, δέσποτα, μετὰ καὶ τοῦ στρατοῦ σου,
ἐμοὶ γὰρ ἱκανή ἐστιν ἡ συμπάθεια μόνη,
τὰς δωρεὰς καὶ τὰς τιμάς, ἅσπερ μοι βούλει δοῦναι,
παράσχου ταύτας, δέσποτα, πένησι στρατιώταις,
ἔχει γὰρ ἡ βασιλεία σου ἐξόδους ἀναρίθμους,
ἀξία δὲ ἡ ἀμοιβὴ τῆς δόξης τοῦ σοῦ κράτους
ἀγαπᾶν προσηλύτους τε καὶ ἐλεεῖν πεινῶντας,
ἐξ ἀδικούντων ῥύεσθαί τοὺς καταπονουμένους,
τὰ κατὰ γνώμην πταίσματα συγχώρησιν παράσχειν,
καὶ μὴ ὀργίζεσθαι τινὰ πρὸ τοῦτον ἐρευνῆσαι·
ταῦτα γάρ εἰσι, κράτιστε, ἔργα δικαιοσύνης,
μεθ᾽ ἧς καὶ πάντας τοὺς ἐχθροὺς ἔχεις καθυποτάξαι·
οὐ γὰρ δυνάμεώς ἐστι κρατεῖν καὶ κυριεύειν,
ἀλλὰ Θεοῦ τὸ δώρημα ἐκ δεξιᾶς Ὑψίστου,
δι᾽ οὗ τῆς χάριτος ἐγὼ τὰς ἀπείρους ἐξόδους,
ἅσπερ εἶχες κατὰ καιρὸν εἰς φύλαξιν τῶν ἄκρων,
ὡς δῶρον εὐτελέστατον ἄχρι τῆς τελευτῆς μου

σοί, βασιλεῦ, χαρίσομαι ὡς εὐγνώμων οἰκέτης·
ἐγὼ ποιήσω τοὺς ἐχθροὺς δούλους εἶναι τοῦ κράτους».
Ἀκούσας οὖν ὁ βασιλεὺς τοὺς λόγους τοῦ Ἀκρίτου,
«ἔχε, φησίν, ὦ τέκνον μου, ὅλην τὴν Ῥωμανίαν,
ἀπὸ βορρᾶν οὖν δίελθε μέχρι μερῶν τῶν πάντων,
καὶ ἔσο νῦν τιμώμενος μετὰ καὶ τοῦ λαοῦ σου,
καὶ χαρίσω πάντα διπλᾶ μετὰ χρυσιοβούλλου
τὰ κρατηθέντα πρὸ καιροῦ κτήματα τοῦ σοῦ πάππου,
ἔχε ταῦτα ἀφαίρετα ὑπὸ τῆς ἐξουσίας».
Ταῦτα πάντα ὁ βασιλεὺς χρεωστικῶς πληρώσας,
καὶ τὸν Ἀκρίταν χάρισε πολύτιμα κουμάσια·
ἐπρόπεμψε τοίνυν αὐτὸν μετὰ περιχαρείας,
καὶ τὴν εὐχήν του ἔδωκε τότε μὲν τοῦ Ἀκρίτου·
«τέκνον μου, εἶπε πρὸς αὐτόν, Θεὸς κατευοδώσοι,
καὶ ἀξιώσοι χαίρειν σε τὰ πάντερπνά σου κάλλη».
Ὁ ἕκτος λόγος, λέγω δή, καὶ ὁ ἕβδομος αὐτίκα
πεφύκασι τοῦ ποιητοῦ ἐκ στόματος λεχθέντες
Βασιλείου τοῦ Διγενοῦς τοῦ θαυμαστοῦ Ἀκρίτου.

## Ὑπόθεσις τοῦ ἕκτου λόγου τοῦ Διγενοῦς Ἀκρίτου.

Ὁ ἕκτος λόγος πέφυκεν Ἀκρίτου τοῦ γενναίου,
ἐν ᾧπερ διηγήσατο τοῖς φίλοις, τοῖς οἰκείοις
πῶς εὗρέ τε τοῦ ἀμηρᾶ κόρην τοῦ Ἀπλορράβδου
φυγοῦσαν μετὰ τοῦ ἀνδρὸς αὐτῆς ἐν τῇ ἐρήμῳ,
καὶ πῶς ταύτην ἀφήρπασαν ἀπὸ τῶν Ἀραβίτων,
καὶ τῷ ἀνδρὶ ἐκδέδωκε τῷ ἰδίῳ ἐκείνης.

## Διγενοῦς λόγος ἕκτος.

Ἡδονῆς χρῆμα πέφυκεν ἀκμάζουσα νεότης,
καὶ ἐπιτέρπεται ἀεὶ εἰς πόθον τῆς φιλίας.
Δόξαν ταύτην λογίζεται ὑπὲρ τῆς βασιλείας
καὶ ὑπὲρ πλούτου τοῦ λαμπροῦ καὶ ὑπὲρ τιμῆς πάσης·
διὰ τοῦτο ῥᾳδίως γὰρ πᾶς νέος ὀλισθαίνει,
εἰ καὶ νομίμῳ γυναικὶ καλλίστῃ ἁρμοσθείη·
ἔνθα γὰρ λάμπει ὁ ἥλιος ἐκεῖ προστρέχουν πάντες.
Ὡσαύτως καὶ ὁ θαυμαστὸς ἐκεῖνος ὁ Ἀκρίτης,
ὁ τὰ Θεοῦ χαρίσματα ἅπαντα δεδεγμένος,
ἀνδρείαν τε καὶ φρόνησιν, κάλλος καὶ ἡλικίαν,
καλλιφωνίαν ἐνήδονον, δίχα παιδοποιίας,
ὑπὲρ ἧς ἄγαν ἐθλίβετο ζωῆς αὐτοῦ τὰ ἔτη,
διηγήσατο πρός τινας περιπεσεῖν εἰς τοῦτον.
Ἐν μιᾷ γὰρ τῶν ἡμερῶν, καθίσας σὺν ἐκείνοις,
τοῖς φίλοις του τοῖς ποθητοῖς, τοῖς φίλοις τοῖς οἰκείοις,
ἤρξατο λέγειν πρὸς αὐτοὺς τὸν πόθον τῆς φιλίας,
καὶ μετ᾽ ἐκεῖνον ἔπειτα ἀνδραγαθιῶν πλήθη,
ἅτινα ἐποιήσατο ἐν τῷ καιρῷ ἐκείνῳ.
Τοιαῦτα λέγων πρὸς αὐτοὺς τοιαῦτα προσεφώνει.

## Διήγησις τοῦ Διγενοῦς Ἀκρίτου.

Ὅτι ὁ μέγας ἀμηρᾶς πάντων ὁ Ἀπλορράβδης
τῆς Ῥωμανίας εἴωθε τὰς πόλεις καὶ τὰς χώρας
ἐκπέρθειν καὶ λεηλατεῖν μετὰ φουσάτων πλείστων·
ἔτυχε δὲ καὶ ὁ υἱὸς ἐκείνου τοῦ Ἀντιόχου,

τοῦ στρατηγοῦ τοῦ θαυμαστοῦ, ἀντιστρατεύειν τούτῳ·
ὃν καὶ πιάσας Ἀμηρᾶς πάντως ἐκνικηθέντα,
τρεῖς χρόνους εἶχε δέσμιον ἐν φρουρᾷ κατακλείσας,
καὶ τότε ἡ θυγάτηρ του, τοῦ ἀμηρᾶ ἀπόντος,
τὸν δέσμιον ἠγάπησεν ἐπὶ κακῷ ἰδίῳ,
καὶ σύντομα τὸν ἔλυσεν, ἄνδρα νὰ τὸν ἐπάρῃ.
καὶ δὴ μετὰ βουλῆς μητρὸς ἄρχοντ' αὐτὸν ἐποῖκε·
ἐφαίνετο δὲ πρὸς αὐτὴν πολλὴν ἔχων ἀγάπην,
καὶ ἐπιτήδειον καιρὸν εὑρὼν ἐκεῖνος τότε,
καὶ βουλευσάμενος φυγῆς ἐλθεῖν εἰς Ῥωμανίαν.
εἶπε τήν δε καὶ τὴν βουλήν, ἐξεῖπε καὶ τὸν φόβον
τοῦ πατρὸς αὐτῆς ἀμηρᾶ, μήπως τὸν ἐξανοίξῃ·
εὐθὺς ταύτην ἠνάγκαζεν ἔρχεσθαι σὺν ἐκείνῳ,
ὁρκωμοτήσας τε αὐτὴν πάντως μὴ ἀρνησθῆναι
ἀλλ' ἔχειν ταύτην σύζυγον ἄχρι τοῦ ζῆν εἰς κόσμον·
οἷς ἐκείνη πιστεύσασα εἶπεν ἀκολουθῆσαι·
ἄδειαν εἶτα ἔλαβον τῆς μητρὸς ἀρρωστούσης.
Καὶ ἄμφω ἵπποις ἔβησαν ἠτοιμασμένοις αὖσις,
καὶ τῆς ὁδοῦ ἀρξάμενοι μετὰ τῆς ταχυτῆτος,
λοιπὸν ὡδεύσασι καλῶς ἕως ἦλθον εἰς βρύσιν·
ταύτην ἐκεῖσ' ἀφέμενος διήρχετο τοῦ δρόμου,
αὐτὴ δὲ μόνη μείνασα ἐν τῇ πηγῇ ἐκείνῃ,
ἐκαρτέρει τὸν ἄγουρον μήπως καὶ ὑποστρέψῃ.
Ἐγὼ δὲ τότε, ὡς εἴρηται, γονέων ἐχωρίσθην,
καὶ εἰς τὰς ἄκρας ᾤκησα μετὰ τῆς ποθητῆς μου·
εἰς τὴν Συριὰν ἠθέλησα μόνος μου ταξειδεῦσαι,
χρόνων ὑπάρχων δεκαοκτώ, ὡς ἀκριβῶς γινώσκω.
Φαρὶν ἐκαβαλλίκευσα, ἀραβιτικὸν μαῦρον,
σπαθίν, σκουτάριν εἰληφὼς καὶ βένετον κοντάριν,

εἰς κάμπους ἐκατέλαβον ἀνδρῶν τῶν Ἀραβίτων·
τότε καὶ ὁ θαυμαστὸς υἱὸς τοῦ στρατηγοῦ ἐκείνου,(1)
τοῦ Ἀντιόχου τοῦ κλεινοῦ, ἐξέφυγε τῆς κόρης
θυγάτηρ οὔσης ἀμηρᾶ, ὡς προείπομεν πάλαι.
Καὶ ὁ Μουσούρ, ὥς ἀνδρικὸς καὶ ὡς ληστὴς ὁδοστάτης,
τὰς ἄκρας περιέτρεχε, πρὸ ἐμοῦ ἐκκρατήσας,
καί, ὡς εἶδε τὸν νεώτερον ὀχούμενον εἰς φάραν,
ἐνστασιάσας παρευθὺς δραμὼν τοῦ ἐπιδοῦναι
σπαθέαν καταβατικὴν αὐτὸν ἐπὶ τοὺς ὤμους.
Τέθνηκεν ἂν ἐκεῖνος γοῦν, εἰ μὴ ἐγὼ εὑρέθην.
Καί, ἀποκτείνας τὸν Μουσοὺρ ἐπεκράτησα τότε,
τὸν δὲ νέον ἀράμενος ἐκ τῆς χειρὸς αὐτίκα,
δέδωκα τοῦτον τοῖς ἐμοῖς φίλοις ὥστε φυλάττειν.
Ἐγὼ δὲ πάλιν ἐξ αὐτῶν ἠρξάμην διοδεύειν,
καὶ ἐξ ὁδοῦ διάστημα πλεῖστον διαπεράσας,
ἔφθασα καὶ τότ' ἔν τινι κάμπῳ λιβαδιαίῳ,
ἐδίψουν δὲ κατὰ πολὺ καὶ πηγὴν ἐπεζήτουν,
δένδρον ὁρῶ ἀπὸ μακρὰν εἰς τὴν δασεῖαν βάτον
καὶ ἐπορεύθην εἰς αὐτό, ὕδωρ εὑρεῖν ἐλπίζων·
φοῖνιξ ὑπῆρχε τὸ δενδρὸν καὶ ἦν πηγὴ ἐν τούτῳ.
Πλησίον δὲ γενόμενος, φωνήν τινος ἀκούω,
ὀλολυγμὸν καὶ στεναγμὸν μετὰ πολλῶν δακρύων,
καὶ θεωρήσας τὸ λοιπὸν τοῦ Ἀμηρᾶ τὴν κόρην,
ἐκείνην ἣν ἐπάφηκεν υἱὸς τοῦ Ἀντιόχου
πῶς μόνη ἐκαθέζετο κάτωθεν εἰς τὸ δένδρον,
τοῦ ὕδατος ἐκπίνουσα τοῦ ἐν τῇ βρύσει ὄντος·
ἐκείνη δὲ ὡς εἶδέ με χαρμονῆς ἐπεπλήσθη,

(1) **Εὐδόξιος τὄνομα κατὰ τὸν Πετρίτσην.**

καὶ εὐθὺς ἐκπηδήσασα ἦλθε πρὸς ὑπαντήν μου·
ἐγὼ δὲ προσεδόκησα αὐτὴν φάντασμα εἶναι,
ὅλος ἔντρομος γέγονα, τριχῶν μου ὀξυνθέντων,
κἀκείνη πάλιν ἤρξατο ἀφόβως πρός με λέγειν·
« τίς καλεῖσαι, νεώτερε, καὶ ποῦ μόνος πορεύῃ;
μὴ διὰ πόθον καὶ αὐτὸς ἀπέρχῃ εἰς Συρίαν;
ἀλλ', ἐπειδὴ κατήντησας εἰς τοὺς ἀνύδρους τόπους,
κατάβηθι, αὐθέντα μου, πρὸς ὥραν εἰς τὸ ὕδωρ·
πόνους γὰρ ἡ καρδία μου ἔχει, καλέ, μεγάλους,
καί, ὡς δοκεῖ μοι, ἄγουρε, θέλω εἰπεῖν σοι τούτους
ὡσὰν ἀπὸ τῆς θλίψεως παραμυθίαν λάβω
ψυχῆς γὰρ τὸ λυπούμενον σὺν τῷ λέγειν ἐξήει,
καὶ τὴν ὀδύνην τὴν πολλὴν καταπαύει μετρίως ».
Ταῦτα ἐγὼ ἀκηκοὼς καὶ ἐκβαλὼν τὸν φόβον,
καί, χαρᾶς ὅλως ἐμπλησθείς, ἐπέζευσα εὐθέως,
καὶ τὸν μὲν ἵππον ἔδησα εἰς τοῦ δένδρου τὸν κλῶνον,
τὸ δὲ κοντάριν ἔπηξα εἰς τὴν αὔτοῦ τε ῥίζαν,
καί, ὕδατος μεταλαβών, ἔφην αὐτὴν τοιάδε.
« Λέγε μοι, κόρη, πρότερον ἐνθάδε πῶς διάγεις,
καὶ τίνος χάριν ᾤκησας ἐν τῇ ἐρήμῳ ταύτῃ,
εἶθ' οὕτως γνώσῃ καὶ αὐτὴ ποῖος ἐγὼ τυγχάνω ».
Εἶτα καθίσαντες ὁμοῦ μετὰ χαμαιζηλίας,
τάδε φωνεῖν ἀπήρξατο στενάζουσα ἐκ βάθους·
« ἐμοὶ πατρίς, νεώτερε, τὸ Μερφεκὲ τυγχάνει·
τὸν Ἀπλορράβδην ἤκουσας τὸν ἀμηρᾶν τῶν πάντων,
οὗτος ἐστὶ πατὴρ ἐμός, μήτηρ ἡ Μελανθία.
Ῥωμογενὴν ἠγάπησα ἐπὶ κακῷ ἰδίῳ,
ὅντινα εἶχεν δέσμιον τρεῖς χρόνους ὁ πατήρ μου·
καὶ γὰρ ἐνδόξου στρατηγοῦ υἱὸς ἔλεγεν εἶναι,

ὃν ἐλευθέρωσα δεσμῶν καὶ φυλακῆς κακίστης,
φαρία του τὸν δέδωκα, πρωτεῖα τοῦ πατρός μου,
ἅρματα πολυτίμητα καὶ ἄπειρον τὸ πλοῦτος·
ἄρχοντα τοῦτον ἔδειξα περιφανῆ Συρίας
μετὰ βουλῆς καὶ τῆς μητρός, καὶ τοῦ πατρὸς ἀπόντος,
ἐν τοῖς πολέμοις γὰρ ἀεὶ εἴωθεν ἀσχολεῖσθαι,
καὶ πάντοτε ἔλεγον αὐτῷ· «καλέ μου μή με ἀφήσῃς».
Ὁ δὲ μεθ' ὅρκου ἔλεγεν· «οὐκ ἀπαρνήσομαί σου,
ἀλλὰ φυλάξω καθαρὰν ἀεὶ σοῦ τὴν ἀγάπην».
Καὶ ἐφαίνετο εἰς ἐμὲ πολλὴν ἔχων τὴν ἀγάπην
καὶ θνήσκειν εἰ συμβέβηκεν ἰδεῖν με μὴ πρὸς ὥραν,
ὑπῆρχε δὲ ἐπίπλαστος, ὡς ἔδειξε τὸ τέλος.
Ἐν μιᾷ γὰρ τῶν ἡμερῶν, δρασμὸν ἐπινοήσας,
βουλόμενος τοῦ ἐξελθεῖν ἐπὶ τὴν Ῥωμανίαν·
τὴν δὲ βουλὴν ἐξεῖπέ μοι καὶ ὅνπερ εἶχε φόβον
διὰ πατέρα τὸν ἐμὸν μήποτε ἐπανήξῃ·
ἐμὲ δὲ κατηνάγκαζεν ὁδεύειν σὺν ἐκείνῳ,
ὅρκοις ἐπαγγειλάμενος λίαν φρικωδεστάτοις
μὴ ἀρνησθῆναι πώποτε ἐμὲ εἰς τοὺς αἰῶνας,
ἀλλ' ἔχειν σύμβιον αὐτοῦ μέχρι τοῦ ζῆν ἐν κόσμῳ·
οἷσπερ κἀγὼ πιστεύσασα, ἐθέμην συνοδεύειν
μετὰ αὐτοῦ ὡς βούλεται καὶ θέλει ἀνεξετάστως·
ἄδειαν εἶτα ἐφευρεῖν ἄμφω διεσκοποῦμεν,
τὸν πλοῦτον ὅπως τῶν ἐμῶν ἄρωμεν γεννητόρων.
Καὶ δὴ κατά τινα πικρὰν καὶ δαιμονίαν τύχην,
νόσος ἐπῆλθε τῇ μητρὶ θανάτῳ γειτνιώσῃ,
καὶ οἱ μὲν ἄλλοι ἅπαντες πρὸς θρῆνον ἦσαν οἴκῳ,
ἐγὼ δέ, ἡ πανταλαινα, ἄδειαν ἐντυχοῦσα,
πλοῦτον πολὺν διάρασα, τῷ πλάνῳ συνεσχέθην,

ὑπουργησάσης τῆς νυκτὸς εὐκαίρως πρὸς τὸ ἔργον,
ἀσέληνος γὰρ ἔτυχε καὶ ἀφώτιστος παράπαν.
Ἐφ' ἵπποις δὲ ἀμφότεροι τοῖς προητοιμασμένοις
ταχέως ἐποχούμενοι ὠδεύομεν σπουδαίως·
φόβον γὰρ εἴχομεν πολὺν μέχρι τοῦ τριμιλλίου,
ὡς δὲ παρήλθομεν αὐτοῦ ὑπ' οὐδενὸς γνωσθέντες,
λοιπὸν ὠδεύομεν καλῶς μετὰ τῆς ταχυτῆτος,
τροφῆς μεταλαμβάνοντες, ὅτε καιρὸς ἐκάλει.
Καὶ μετ' ὀλίγον γαμετὴν ἔλεγε τὴν φιλτάτην
ἡδίστως τε καταφιλῶν, κρατῶν ἐν ταῖς ἀγκάλαις·
οὕτως συμπάσῃ τῇ ὁδῷ συγχαίροντες ἀλλήλοις
ἐν ταύτῃ κατελάβομεν τῇ ὀρωμένῃ βρύσει,
καὶ τρεῖς ἀναπαυσάμενοι ἡμέρας τε καὶ νύκτας,
ἐρωτικὰς μεταβολὰς τελοῦντες ἀκορέστως.
Γνώμην αὐτοῦ τὴν ἔνδοθεν δολίως κεκρυμμένην
ἀνακαλύπτειν ἄρχεται ὁ δεινὸς ὁ παραβάτης.
Καὶ γὰρ ὁμοῦ καθεύδοντες ἐν τῇ νυκτὶ τῇ τρίτῃ,
λάθρα τῆς κοίτης ἀναστάς, ἐπέστρωσε τοὺς ἵππους,
καὶ τὸν χρυσὸν ἀφείλετο, τὰ κρείττονά τε σκεύη·
ὡς γοῦν ἐπέγνων ἑαυτὴν τοῦ ὕπνου ἀναστᾶσα,
τὴν ἐμαυτὴν ηὐτρέπιζα, ὥσπερ κατὰ τὸ ἔθος,
ὡς νεανίδα τὴν στολὴν πρέπουσαν καὶ τὸ εἶδος,
τοιούτῳ γὰρ τῷ σχήματι ἐξῆλθον τῆς πατρίδος.
Ἐφ' ἵππον τοίνυν ἐπιβὰς τὸν ἴδιον ἐκείνου,
εἷλκε χρυσοῦ τὸν ἕτερον καὶ ᾤχετο τοῦ δρόμου·
καὶ τούτου τὸ παράλογον ὡς εἶδον ἀνελπίστως
πεζὴ ὡς εἶχον ἔτρεχον κατόπισθεν βοῶσα·
«ἀπέρχῃ βέβαιον, κἀμὲ ποῦ μόνην ἐπαφίεις;
διέλαθες τῶν ἀγαθῶν ὧν σοι ἀνεδειξάμην;

οὐ μνημονεύεις ἐξ ἀρχῆς τοὺς ἐξαιρέτους ὅρκους;»
Ὡς δὲ οὐχ ὑπεστρέφετο, ἔτι λοιπὸν ἐφώνουν·
«φοβήθητι, ὦ ἄνθρωπε, Θεὸν τὸν ἐν ὑψίστοις,
ἐλέησον, οἰκτείρησον, σῶσόν με τὴν ἀθλίαν·
μὴ ἐνθάδε ἐάσῃς με ὑπὸ θηρῶν βρωθῆναι».
Ταῦτα καὶ ἄλλα πλείονα ἐβόων θρηνῳδοῦσα,
ὁ δ' ἀφανής μοι γέγονε φθεγξάμενος μηδόλως,
τῶν ποδιῶν μου δ' ὡς ὁρᾷς πλήρως ὑποκαμόντων
ἐν τοῖς πολλοῖς προσκρούσμασιν πάντοθεν αἱμαχθέντων,
ἐκεῖσέ που κατέπεσον ὡς νεκρικῶς ὑπτία·
καὶ μεθ' ἡμέρας ἑαυτὴν μόλις ἀναλαβοῦσα,
ἐν τῇ πηγῇ ὑπέστρεψα ἀνάγκῃ βαδιοῦσα.
Εἰμὶ γὰρ πάντων ἔρημος μὴ ἔχουσα ἐλπίδα·
οὐ γὰρ τολμῶ εἰς τοὺς ἐμοὺς γονεῖς τοῦ ὑποστρέψαι,
αἰσχύνομαι τοὺς γείτονας, τὰς συνομήλικάς μου·
τὸν δὲ πλανήσαντα εὑρεῖν που παντελῶς οὐκ οἶδα·
καὶ δέομαί σου μάχαιραν τοῦ δοῦναί μοι εἰς χεῖρας,
καὶ κατασφάξω ἑαυτὴν ὡς πράξασαν ἀθέσμως·
οὐ γὰρ συμφέρει μοι τοῦ ζῆν, πάντων ἀποτυχούσης·
ὦ τῶν ἐμῶν ἀνομιῶν, ὦ συμφορῶν μεγίστων!
ἠλλοτριώθην συγγενῶν, γονέων ἐχωρίσθην,
πρὸς τὸ κερδῆσαι φίλτατον, ὃν καὶ ἀπεστερήθην».
Ὡς ταῦτα δὲ ἐφθέγξατο ἡ κόρη θρηνῳδοῦσα,
τοὺς βόστρυχας συντέμνουσα, τύπτουσα καὶ τὸ στῆθος
ταύτην κἀγώ, ὡς δυνατόν, ἀνέστειλα τοῦ θρήνους,
τὰς χεῖρας ἐκ τῶν πλοκαμῶν ἀπέσπων μετὰ βίας,
ἔχειν παραμυθούμενος ἐλπίδας χρηστοτέρας.
Καὶ ἐπερώτησα μαθεῖν πόσαι εἰσὶν ἡμέραι
ἀφ' ἧς ὁ πλάνος μόνην σε ἀφῆκε τῶν ἐνθάδε.

Ἡ δὲ αὖθις στενάξασα, «ἡμέρας, ἔφη, δέκα
μέχρι τοῦ νῦν πληρώσασα ἐν ταύτῃ τῇ ἐρήμῳ,
μὴ κατιδοῦσα κἂν ποσῶς ἕτερον χαρακτῆρα
εἰμὴ τὸν σόν, αὐθέντα μου, ἐγὼ ἡ παναθλία,
καί τινος ἄλλου γηραιοῦ, κατὰ τὴν χθὲς ἡμέραν,
ὃς ἔλεγέ μοι τὸν υἱὸν εἶναι εἰς Ἀραβίαν·
οὗτος ἐδιηγήσατο, τὰ κατ' ἐμὲ ἀκούσας,
ὅτι, πρὸ πέντε ἡμερῶν, εἰς τὸ Βλαττολιβάδιν,
παῖδα ξανθόν, ἀρτιγενῆ, μικρὸν τῇ ἡλικίᾳ,
εἰς φάραν ἐποχούμενον, φέρων συρτὸν καὶ ἄλλον,
ἐνστασιάσας ὁ Μουσοὺρ σπαθέαν ἐπιδοῦναι·
καί, εἰ μὴ ὁ νεώτερος ηὑρέθη ὁ Ἀκρίτης,
ἐφόνευε τὸν ἄγουρον ἐν τῇ ὥρᾳ ἐκείνῃ.
Λέγω δὲ τοῦτον ἐκ παντὸς τὸν παραβάτην εἶναι,
ταῦτα γὰρ τὰ γνωρίσματα ἐκεῖνον βεβαιοῦσι.
Οἴμοι λοιπὸν παντάλαινα καὶ παναθλία τύχη,
ἡ ἀδοκήτως ἀγαθοῦ τοιούτου χωρισθῆναι,
ἡ τὸ γλυκὺ πρὸ τοῦ τυχεῖν ὀλέσασα τοῦ κάλλους,
ὡς δένδρον νεοφύτευτον ἀκαίρως ξηρανθεῖσα».
Αὐτὰ ἡ κόρη ἔλεγεν, καὶ ἔκλαιεν μεγάλα·
ἐκεῖ τότε ἐφάνησαν ἀνδρεῖοι Ἀραβῖται,
ἀπὸ τὸ δάσος ἑκατὸν ὁμόπιστοι κονταράται.
Ἐκεῖνοι 'ς ἐμένα ἔπεσαν, 'σὰν ὄρνεα 'στὰ λέσια,
ἡ φάρα ἀπ' τὸν φόβον της ἀπέκοψε τὸν κλάδον,
ἐγὼ δ' ἐκείνην κράτησα, ὅπου τρέξε 'ς τὸν δρόμον·
μετὰ σπουδῆς ἀνέβηκα, ἐκαβαλλίκευσά την·
ἀνδρεῖος τότε στάθηκα, κρατῶντας τὸ κοντάρι,
καὶ πρὸς αὐτοὺς ἐπέδραμον, πολλοὺς τούτων ἀνεῖλον,
τινὲς δέ με ἐγνώρισαν, ἔλεγαν πρὸς ἀλλήλους·

αὕτη ἡ τόλμη τίς ἐστι, καὶ τίς αὐτὸς ὑπάρχει
καὶ τὰς σπαθέας μας αὐτὸς οὐδὲ ποσῶς φοβεῖται;
Εἷς Ἀραβίτης ἐξ αὐτῶν φωνὴν μεγάλην ῥίπτει,
ταῦτα τὰ θράση ἄρχοντες, ὁποῦ θωροῦμεν τώρα,
καὶ τὰ συγνογυρίσματα, καὶ τὴν 'πιδεξοσύνην.
Ἀκρίτου γὰρ τοῦ Διγενοῦς εἶναι αὕτη ἡ νίκη·
καὶ ξεμακρύνετε ταχύ, μὴ χαλασθοῦμεν ὅλοι,
ἢ ἄγετε ἀθροίσθητε, καὶ παρασυναχθῆτε
ἵνα καὶ ταύτην λάβωμεν τὴν κόρην 'ποῦ φυλάττει.
Ὡς δὲ πολὺ οὐ γέγονεν, ἦλθον ὁμοῦ πλησίον,
καὶ πάλιν κτύποι ἐγίνοντο, καὶ ταραχαὶς μεγάλαις.
Ἐκεῖνοι 'ποῦ με κύκλωσαν, ἦσαν ἑκατὸν ἀνδρεῖοι,
'στὸν πολέμον 'ποῦ κάμαμεν, ἅρπασαν τὴν κόρην.
Ἐγὼ ὡς εἶδον παρευθὺς ταύτην ἀφηρπασμένην,
ἐνδύθην μεγάλην δύναμιν, ἐφάνηκα ἀνδρεῖος,
καὶ ἅπαντας ἐτρόπωσα ἐκείνους κατὰ κράτος.
Τὴν κόρην τότε ἔλαβον ἐκ τῆς χειρὸς αὐτίκα,
εἰς τὴν πηγὴν ἐπήλθομεν, καθίσαντες ὀλίγον.
Καὶ τοτ' ἡ κόρη σύντομα μεγάλως εὐχαρίστει·
«καὶ ποῖος σύ, αὐθέντα μου, καὶ νίκησες τοὺς πάντας
καὶ ἐλευθέρωσες ἐμὲ ἐκ τῆς χειρὸς ἁρπάγων;
εὐχαριστῶ καὶ προσκυνῶ, καὶ τρισευχαριστῶ σε.
. . . . . . . . . . . . . . . . νά σ' ἀποδώσω.
Μόνος αὐτὸς ὁ πλάστης μου, ὁ πάροχος ἀνδρείας
ἀνταποδώσει σοι πολλὴν ἀνταμοιβὴν ἐν κόσμῳ».
Καὶ πλεῖστα παρεκάλει μοι, φιλοῦσά μου τοὺς πόδας·
«αὐθέντα μου, ὡς ἤκουσα παρὰ τοῦ Ἀραβίτου,
μὴ τυγχάνῃς ὁ Διγενής, ὃν γηραιός μοὶ εἶπεν,
ὃς τὸν ἐμὸν ποθούμενον ἔλυσας τοῦ θανάτου;

καί, εἰ ἐκεῖνος ἀληθῶς τυγχάνεις ὁ Ἀκρίτης,
ἀνάγγειλόν μοι, αὐθέντη μου, διὰ τὸν ἀγουρίτζην
ὃν ἐβουλήθη ὁ Μουσοὺρ ἀδίκως θανατῶσαι».
«Ἐγώ εἰμι, ἀντέφησα, ὁ τοὺς ἀτάκτους κτείνων,
καὶ παρὰ πάντων ἄτρωτος πεφύλαγμαι ἐν μάχῃ·
ἐγώ εἰμι ὁ τὸν Μουσοὺρ ἐνδίκως θανατώσας
τὸν ὁδοστάτην, τὸν ληστήν, τὸν τὰς ὁδοὺς κρατοῦντα,
ὡς οὐκ ἐτόλμησε ποτὲ ὁδεῦσαί τις παράπαν·
ἐγώ εἰμι ὁ ἐξ αὐτοῦ θανάτου τε κρατήσας
ὃν ἀγαπᾷς οὐκ οἶδά πως καὶ ἐπὶ μνήμης φέρεις,
φίλτατον τὸν ἀβέβαιον ἐκεῖνον ἐκκαλοῦσα.
Ἀλλ' ἴθι, καὶ πρὸς αὐτὸν ἐγώ σε ἀπαγάγω,
παρασκευάσω τε αὐτὸν τοῦ γαμετὴν λαβεῖν σε,
εἰ σέβας ὅλως ἀρνησθῇς αἰσχρῶν τῶν Αἰθιόπων».
Ἡ δὲ τοῦτο ἀκούσασα, χαρᾶς ἐμφορηθεῖσα,
«κύριέ μου, ἀντέφησε, μέγιστε ἀντιλῆπτορ,
καὶ τοῦ λαμπροῦ βαπτίσματος γέγονα ἐν μεθέξει,
πρὶν συναφθῆναι τῷ ἀνδρί, αὐτοῦ μοὶ προσειπόντος·
οὐδὲν γὰρ εἶχε δυνατόν, τῷ πόθῳ δουλωθεῖσα,
τὰ παρ' αὐτοῦ λεγόμενα μὴ ἀγαγεῖν εἰς ἔργον,
δι' ὃν γονεῖς καὶ συγγενεῖς οὐδὲν προελογίσθην».
Ταῦτα λοιπὸν ὡς ἤκουσα ἐκ στόματος τῆς κόρης,
φλόγα καθάπερ εἰς ἐμὴν εἰσῆλθε τὴν καρδίαν,
ἐξῆπτέ τε τὸν ἔρωτα παράνομόν τε μίξιν·
καὶ πρῶτον μὲν ἀνέστελλον ἀκάθεκτον τὴν γνώμην,
ὅπως ἂν τύχῃ δυνηθῶ φυγεῖν τὴν ἁμαρτίαν,
ἀλλὰ σαφῶς ἀδύνατον πῦρ παραβῆναι χόρτον.
Ὡς ταύτην δὲ ἀνήγαγον ἐν τῷ ἰδίῳ ἵππῳ,
καὶ τῆς ὁδοῦ οἰχόμεθα τῆς πρὸς τὴν Χαλκογούρναν,

οὐκ εἶχον ὅστις γένωμαι, πῦρ ὅλος ἐφλεγόμην,
τοῦ ἔρωτος ὁλοσχερῶς ἐμοὶ προσαυξηνθέντος,
καὶ πάσας μου καταλαβὼν μέλεσι τὰς αἰσθήσεις
ἐν κάλλει τε τοὺς ὀφθαλμούς, ἐν τῇ ἀφῇ τὰς χεῖρας,
τὸ στόμα τοῖς φιλήμασι καὶ ἀκοὴ τοῖς λόγοις·
πλὴν ἅπαντα γεγόνασιν ὅσα κακὰ τοῖς ἔργοις,
καὶ ἐμιάνθη ἡ ὁδὸς ἀπὸ τῆς ἀνομίας,
ἐκ συνεργείας τοῦ Σατάν, ψυχῆς τε ἀμελείας,
εἰ καὶ πολλὰ ἀνθίστατο ἡ κόρη πρὸς τὸ ἔργον,
καὶ εἰς Θεὸν ὁρκίζουσα καὶ εἰς εὐχὰς γονέων·
ἀλλ' οὐ ὁ ἀντικείμενος ὁ σκότους τε προστάτης,
ἐχθρός τε καὶ πολέμιος τοῦ ἡμετέρου γένους,
αὐτὸν γὰρ παρεσκεύασε Θεὸν ἐπιλαθέσθαι,
καὶ τῆς ἀνταποδόσεως τὴν φοβερὰν ἡμέραν
ἐν ᾗ πάντα τὰ κρύφια πταίσματα φανεροῦνται
ἀγγέλων κατενώπιον καὶ τῶν ἀνθρώπων πάντων.
Εἶτα παραγενόμενος ἐπὶ τὴν Χαλκογούρναν,
ἐκεῖσε τὸν πλανήσαντα εὕρομεν ταύτην παῖδα·
ἄρα δὲ ἦν τοῦ στρατηγοῦ υἱὸς τοῦ Ἀντιόχου,
πρὸ χρόνων τῶν ἐν τῷ ζυγῷ ὑπὸ Περσῶν σφαγέντος·
ὡς γὰρ αὐτὸν ἀπὸ χειρῶν Μουσοὺρ ἐγὼ ἐρρύσθην,
ἔμπροσθέν μου οὐκ εἴασα τοῦ πορευθῆναι μόνον,
ἀλλ', ὡς γνωστόν, πρὸς τοὺς ἐμοὺς δέδωκα τοῦτον φίλους,
ὡς ἂν διάγῃ μετ' αὐτῶν μέχρι τοῦ ὑποστρέψαι.
Αὐτὸν ἐκεῖσε εὑρηκώς, καὶ πλεῖστα νουθετήσας,
καὶ μετεπαγγειλάμενος μὴ ταύτην ἀθετήσῃ,
ἀλλ' ἔχειν, ὡς ὑπέσχετο, ἐν βίῳ γαμετήν τε.
Διηγησάμην ἅπασι πῶς εὗρόν τε τὴν κόρην,
καὶ πῶς ταύτην ἀφήρπασα ἐκ τῶν Ἀραβιτῶν τε·

τοὺς δὲ μὴ θέμις ἐξειπεῖν παρέτρεχον τὸν λόγον,
ἵνα μὴ σκάνδαλον ὁ παῖς εἰς νοῦν ἐπινοήσῃ·
εἶθ' οὕτως πλοῦτον ἄπειρον αὐτοῖς προχορηγήσας,
ὃν ἐξ οἰκείων ἥρπασεν ἡ κόρη τῶν γονέων,
καὶ ἵππους δύο τῶν αὐτῶν ἀπέπεμπον ἐκεῖθεν,
αὖθις ἐπαγγειλάμενος τὸν νέον δριμυτέρως
τοῦ μήποτέ τι ἄδικον τῇ κόρῃ διαπράξῃ.
Καὶ μετ' ὀλίγον καὶ αὐτὸς ἦλθον εἰς τοὺς οἰκείους,
τοῦ ἀπριλίου τρέχοντος μεσότητα μηνός τε,
τὸ συνειδὸς κατηγορῶν, φέρων τὴν ἁμαρτίαν,
καὶ ταλανίζων ἑαυτὸν ἐν τῇ ἀθέσμῳ πράξει·
ἡνίκα τε τὸν ἥλιον ἐμῆς ψυχῆς κατεῖδον
καὶ αἰσχυνόμενος αὐτὴν μεγίστως ἀδικήσας
καὶ τάχιον μετὰ σπουδῆς ἦλθον 'ς τὴν ποθητήν μου·
καὶ μεθ' ἡμέρας ἔπειτα μετοίκησιν ποιήσας,
ὡδεύσαμεν εἰς ἕτερον τόπον ἐκεῖ οἰκοῦντες.

## Ὑπόθεσις τοῦ ἑβδόμου λόγου τοῦ Διγενοῦς Ἀκρίτου.

Ἕβδομος λόγος ὁ παρὼν πλείστας ἀνδραγαθίας
διεξιὼν τυγχάνει γε Ἀκρίτου τοῦ γενναίου,
ἃς ὁ αὐτὸς ἐξήγγειλε πρὸς τοὺς οἰκείους φίλους·
τὰς περὶ τὸν Φιλόπαππον μάχας λέγω καὶ νίκας,
πολέμους τε τῆς Μαξιμοῦς, αὐτῆς τῆς Ἀμαζόνος.

## Διγενοῦς λόγος ἕβδομος.

Τὸν βασιλέα τῶν μηνῶν τίς βουληθείη λέγειν;
Μάϊος ἐβασίλευσεν εἰς ἅπαντας τοὺς μῆνας,

κόσμος αὐτὸς φαιδρότατος ἁπάσης γῆς τυγχάνει,
πάντων φυτῶν ὁ ὀφθαλμὸς καὶ τῶν ἀνθῶν λαμπρότης,
λειμώνων τε περικαλλῶν τὸ ἄνθος ἐξαστράπτον,
ἔρωτα πνέει θαυμαστόν, πρόξενον Ἀφροδίτης·
γῆν τοῦ μιμεῖσθαι οὐρανὸν αὐτὸς παρασκευάζει
τοῖς ἀγλαοῖς τοῖς ἄνθεσι, καὶ ἴεσι, καὶ ῥόδοις·
τότε γινώσκεται σαφῶς τοὺς ὑπουργοῦντας ἔρως,
καὶ πᾶς φιλῶν εὐφραίνεται τῆς ἡδονῆς μεγάλως.
Ἐν τούτῳ δὴ τῷ θαυμαστῷ μηνὶ τῷ γλυκυτάτῳ,
μεταβληθῆναι ἠθέλησα μόνος μετὰ τῆς κόρης,
τῆς θυγατρὸς τοῦ στρατηγοῦ τοῦ Δούκα τῆς ὡραίας,
καὶ διὰ τὴν τερπνότητα τοῦ θαυμαστοῦ μαΐου,
διὰ τῶν φυτῶν τὴν ἔπαρσιν καὶ τὴν χαρὰν ἐκείνην,
καὶ διὰ τὴν μοναξιότητα τῆς καλῆς ποθητῆς μου.
Πρὸς θαυμαστόν τινα λοιπὸν λειμῶνα προσελθόντες
ἐκεῖ τὴν τένταν ἔστησα καὶ τὴν ἰδίαν κλίνην,
κύκλωθεν ταύτην ἐμβαλὼν φυτῶν παντοίων εἴδη,
τὸ ἔδαφος τοῖς ἄνθεσι λαμπρῶς πεποικιλμένον,
τὸ δὲ χρῆμα πρὸ ὀφθαλμῶν ἐνήδονον ὑπῆρχεν·
ἄλση ἦσαν δασύτατα καὶ πανηγύρεις δένδρων,
οἱ κλάδοι ἔθαλλον φαιδρῶς, συνήπτοντο ἀλλήλοις,
ἡ εὐωδία τῶν καρπῶν συνέριζεν τοῖς ἄνθοις,
ἀμπέλους ἐπενδύοντο τὰ πλείονα τῶν δένδρων,
κάλαμοι ἐπεφύοντο εἰς ὕψος ἐπηρμένοι,
καὶ ἄνθη ὡραιότατα ἐπάνω τοῦ ἐδάφους·
νάρκισσος ἔθαλλε φαιδρός, καὶ ῥόδα σὺν τοῖς ἴοις.
Ὕδωρ ψυχρὸν ἀνέβρυεν ἐν μέσῳ τοῦ λειμῶνος,
καὶ πανταχοῦ διέτρεχεν ἐκείνῳ τε τῷ τόπῳ·
χαράδραι δὲ δεξαμεναὶ ἐν τῇ πηγῇ ὑπῆρχον,

ἦν γὰρ τὸ ὕδωρ κάτοπτρον τῶν ἀνθῶν καὶ τῶν δένδρων,
τὸ μὲν γὰρ ἦν ἀληθινόν, τὸ δ' ἕτερον λευκῶδες.
Ὀρνέων γένη ἱκανὰ ἐνέμοντο τῷ ἄλσει,
ταῶνες χειροήθεις τε καὶ ψιττακοὶ καὶ κύκνοι·
οἱ ψιττακοὶ κρεμάμενοι ἐπὶ τοῖς κλώνοις ἤδη,
οἱ κύκνοι ἐν τοῖς ὕδασι νομὴν προσεποιοῦντο·
ταῶνες δὲ τὰς πτέρυγας κυκλοῦντες εἰς τὰ ἄνθη,
ἀντέλαμπον ταῖς πτέρυξι ταῖς τῶν ἀνθῶν τε χρόαις·
αἱ δὲ λοιπαὶ ἐλεύθερον πτερὸν γὰρ κεκτημέναι,
ἔπαιζον ἐποχούμεναι ἐν κλώνοις τε τῶν δένδρων
καὶ λιγυρῶς ἐπᾴδουσαι ὑπὲρ Σειρήνων μέλη·
αἱ δὲ ἀγλαϊζόμεναι τῇ τῶν πτερῶν κοσμήσει.
Τὸ κάλλος δὲ τῆς εὐγενοῦς κόρης ὡς ἐξαστράπτον
κρεῖττον ταώνων ἔλαμπε καὶ τῶν φυτῶν ἁπάντων·
ἡλίου γὰρ τὸ πρόσωπον καὶ χρόαν ἐμιμεῖτο,
καὶ ῥόδον τῆς πανευθαλοῦς πάνυ μεμυρισμένον
τὰς παρείας παρείκαζε στιλβώσας τὸ παράπαν
τῶν ὀφθαλμῶν ὡς ῥόδον τε τὴν ὄσφρησιν μεθέλκει,
οὕτως αὐτὴ τοὺς ὀφθαλμοὺς ἕλκων καὶ ὑποτάσσων,
τοῦ μηδαμῶς ἐξέρχεσθαι τῆς τούτων θεωρίας.
Τὰ χείλη ῥοδινόφυα ὑπεφαίνοντο ἄνθη,
ἡνίκα τε τοῖς κάλυξιν ἄρχονται ἀναστέλλειν·
βόστρυχοι ἐποχούμενοι ἕως τὴν γῆν ὑπῆρχον,
κόσμον ἡδύν, χρυσοτερπῆ, ἀκτινοβόλον εἶχε,
καὶ διὰ πάντων ἄρρητος ὑπῆρχεν εὐφροσύνη.
Πέμματα ἐκαπνίζοντο παντοῖά τε καὶ πλεῖστα,
μόσχοι, κασσίαι, καφουραί, ἄμπαρ καὶ ξυλαλόαι,
καὶ ἦν ὁ ἄνεμος ἡδὺς καὶ πλήρης εὐωδίας·
τοσαύτην ὁ παράδεισος τερπνότητα παρεῖχεν.

Ἐν ὥρᾳ δὲ μεσημβρινῇ πρὸς ὕπνον μετετράπην,
ῥοδόσταμα τῆς εὐγενοῦς κόρης με ραντιζούσης,
τῶν ἀηδόνων καὶ λοιπῶν στρουθίων κελᾳδούντων.
Ἡ κόρη δὲ διψήσασα πρὸς τὴν πηγὴν ἀπῆλθε·
καί, ὡς ἐκεῖσε ἔβρεχε τοὺς πόδας τερπομένη,
δράκων, μορφώσας ἑαυτὸν εἰς εὐειδῆ παιδίον,
πρὸς ταύτην παρεγένετο, βουλόμενος πλανῆσαι·
ἡ δέ, μὴ ἀγνοήσασα αὐτὸν ὁποῖος εἴη,
ἔφησε ταῦτα σύντομον ἐκεῖνον καταλέγων·
«ἄφες, θηρίον, τὴν βουλήν, ἐγὼ οὐκ ἀπατῶμαι·
ὁ γὰρ φιλῶν με ἠγρύπνησεν, ἀρτίως δὲ κοιμᾶται,
εἰ ἐγερθῇ καὶ εὑρήσει σε, καλὸν μὴ ἐγεννήθης».
Ὁ δὲ πηδήσας ἀναιδῶς βιάζειν ἐπεχείρει·
εὐθὺς φωνὴν προέπεμψε, φωνοῦσά με ἡ κόρη·
«ἐξύπνησον, αὐθέντη μου, χαόνεις τὴν καλήν σου!»
Καί, τῆς φωνῆς εἰς τὴν ἐμὴν καρδίαν ἠχησάσης,
τάχιον ἐξεπήδησα καὶ τὸν ὀχλοῦντα εἶδον,
ἄντικρυς γάρ μου ἡ πηγὴ ἦν ἐν ἐπιτηδείῳ,
καὶ ἀναρπάσας τὸ σπαθὶν ἐν τῇ πηγῇ εὑρέθην·
τότε γὰρ εἶχόν μου πτερὰ οἱ πόδες, ὡς ἐδόκουν·
ὁ δράκων δέ μοι φάντασμα ἐδείκνυτο φρικῶδες,
τρεῖς κεφαλὰς ἀντὶ μιᾶς ὅλας τε παμμεγέθεις,
ἐξ ἑκατέρων ἔπεμπον φλόγας ἐξαστραπτούσας·
ἐκ τόπου δὲ κινούμενος ἦχον βροντῆς ἐτέλει,
ὥστε δοκεῖν σαλεύεσθαι τὴν γῆν τε καὶ τὰ δένδρη.
Σῶμα παχὺν τὰς κεφαλὰς εἰς ἓν ἐπισυνάγον,
ὄπισθεν ὀξυνούμενον οὐρὰν προσεπαυξάνον,
πολὺς μὲν ἐξαπλώμενος ἐδείκνυτο φρικώδης,
ἐπάνω μου τὴν ἅπασαν ὅρμην προσεποιεῖτο.

Ἐγὼ δέ, τὰ ὁρώμενα ἀντ' οὐδενὸς νομίσας,
πρὸς ὕψος ὅλως σὺν θεῷ σπαθίον ἀνατείνας,
πηδήσας κατὰ τοῦ θηρός, τὴν κεφαλὴν ἀπῆρα
τοῦ δεινοτάτου δράκοντος καὶ πολεμίου τότε·
φονεύσας δὲ καταληθῶς, εἰς γαῖαν ἐξηπλώθη·
ἄνω καὶ κάτω τὴν οὐρὰν κινῶν τὴν τελευταίαν.
Καὶ ἀπομάξας τὸ σπαθὶν βάλλω αὐτὸ εἰς θήκην.
Πόρρωθεν ὄντας τοὺς ἐμοὺς προεκαλούμην παῖδας,
οὓς καὶ ἐλθόντας ὥρισα ἀρθῆναι τὸ θηρίον,
καὶ προσριφῆναι πόρρωθεν ἐμῆς σκηνῆς αὐτίκα,
ὡς ὄντως δὲ ἐγένετο ταχέως ὑπὲρ λόγον.
Οἱ παῖδες μὲν ὑπέστρεψαν εἰς τὰς ἰδίας τέντας,
ἐγὼ δὲ ἐπὶ τὴν κλίνην μου πέπτωκα κοιμηθῆναι,
ἡδὺς γὰρ ὃν ἐκάθευδον ὑπῆρχέ μοι ὁ τόπος.
Οὔπω δ' ἡ κόρη προσλαβὼν αὐτοῦ κατηγορίας,
ἀλλ' αὖθις ὡς πρὸς γέλωτα ἄπειρον κινηθεῖσα,
φαντάσματα τοῦ δράκοντος φέρουσα ἐπὶ μνήμης,
καὶ σύντομον τὸν θάνατον ἐκείνου τοῦ μεγέθους,
μετὰ τὸ ἀφυπνῆσαί με ἐξῆλθεν εἰς τὸ δένδρον·
καὶ λέων ἤδη φοβερὸς ἐξῆλθεν ἐκ τοῦ ἕλους,
ὃς πρὸς τὴν κόρην καὶ αὐτὸς ὁρμὴν προσεποιεῖτο·
ἡ δὲ φωνὴν ἐξέπεμψε καλοῦσα βοηθόν με.
Ταχὺ πηδῶ τῆς κλίνης μου, λαμβάνω τὸ ῥαβδίν μου,
καὶ τοῦτο φέρων ἐν χερσὶν αὖθις αὐτὸν ἐκπίπτω,
καὶ συναντήσας τε αὐτὸν καὶ μίαν ἐπικρούσας,
τὸ δέρμα εὗρον ὑγιές, ὀστᾶ συντετριμμένα·
καὶ πάλιν προσταξάμενος ἔρριψαν καὶ ἐκεῖνο
πόρρωθεν τῆς ἐμῆς σκηνῆς οἱ ἐμοὶ ὑπουργοῦντες.
Ἐγὼ δὲ τὴν περίβλεπτον ἐκ τῆς χειρὸς κρατήσας,

ἐπὶ τὴν κλίνην ἡσυχῇ ἤλθομεν βαδιοῦντες·
ἡ δὲ περιλαβοῦσά με ἀπλήστως κατεφίλει,
καὶ παρεκάλει λέγουσα, «νεώτερέ μου κύρκα,
ἵνα χαρῇς τὰ κάλλη σου καὶ τὴν πολλήν σου ἀνδρείαν,
ἣν ὁ Θεός σοι ἔδωκε παρὰ πάντας ἀνθρώπους,
κρότησον τὴν κιθάραν σου καὶ μετεώρισόν μοι,
ἐγὼ γὰρ ἐρραθύμησα ἐκ τῶν θηρῶν τοῦ φόβου».
Καὶ τὴν θαμπουράν μου λαβὼν ἐγὼ ἐκ τοῦ πασσάλου,
ἐκείνην μὲν ἐξέκρουον, ἡ κόρη δ' ἐτραγῴδει,
εὐχαριστοῦσα ἔρωτι γλυκὺν διδόντι κύρκαν,
ὅνπερ φιλοῦσα ἔλεγε, τινὰ μὴ πτοουμένη.
Ἡ δ' ἀρχὴ τοῦ καταλέγματος ἦτον ὁ λόγος οὗτος·
«ῥόδον μου εὐθαλόφυτον, μῆλόν μου μυρισμένον,
φῶς τῶν ἐμῶν διανοιῶν, φῶς τῶν ἐμῶν ὀμμάτων,
παρηγορία τε ψυχῆς καὶ σώματος τερπνότης,
εὐχαριστῶ τὸν πλάστην μου, αὐτὸν τὸν πάντων κτίστην,
καὶ προσκυνῶ τὴν χάριν του, ὡς ἀναξία οὖσα
ὅστις μοι ἐδωρήσατο τοιοῦτον ἐν τῷ κόσμῳ
ἄνδρα σε ἀνδρικώτατον καὶ τοὺς πάντας νικοῦντα».
Ταῦτα καὶ ἄλλα πλείονα ἐκείνη κηλαδοῦσα,
ἐμοῦ κιθάραν κρούοντος τῷ πτερῷ τοῦ ὀρνέου,
καὶ τῆς κιθάρας ἡ φωνὴ καὶ ἡ φωνὴ τῆς κόρης
ἦχον ἀνέπεμπον τερπνόν, ὀρέων ἀντηχούντων.
Καὶ ἰδοὺ ἀνεφάνησαν ὡραῖοι ἀπελάται,
ἄνδρες ὡς τριακόσιοι ὅλοι ἁρματωμένοι,
κ' ἐκ τοῦ ὄρους ἐρχόμενοι ἤκουσαν τῆς φωνῆς της
καὶ τοῦ κηλαδισμοῦ αὐτῆς κ' ἐκείνης τῆς θαμπούρας·
ἅπαντες ἤρχοντο ταχὺ μετὰ χαρᾶς μεγάλης
καὶ μίλλιν ἓν ἀπέχοντες ἡμῶν ὡς ἀπεικάζω.

καὶ ταύτης ἀπεκνεύσαντες ἦλθον ἐμοῦ πλησίον.
Ὡς δὲ καὶ μόνον ἔβλεψαν, περίβλεπτον τὴν κόρην,
ὡς ἀπὸ βέλους τὰς ψυχὰς ἐτρώθησαν τῷ κάλλει,
καὶ πάντες ἐκινήθησαν εἰς ἔρωτα συντόμως
ἄπειρον ὅτι μέγιστον τῆς ἡδονῆς ἐκείνης.
Ὡς σώζοντες τὸν ἀριθμόν, ἵνα σαφῶς ἐξείπω,
ἅπαντες τριακόσιοι ἁρμάτων ἐμπλησμένοι,
ἐμὲ δὲ μόνον βλέποντες ἤλπιζον λόγους πνῖξαι·
« ἄφες τὴν κόρην, λέγοντες, τὸν ἑαυτόν σου σῶσον,
εἰ δ᾽ οὔ, κερδήσεις θάνατον, ἀπείθειαν ὡς ἔχων ».
Ἀκμὴν γὰρ οὐκ ἐπίσταντο ποῖος ἐγὼ τυγχάνω.
Ἡ δὲ ἡλιογέννητος ἄφνω ἰδοῦσα τούτους
ἁρματωμένους ἅπαντας ἐφ᾽ ἵππων καθημένους,
λόγοις αὐτῶν πιστεύσασα, μεγάλως δειλιῶσα,
καὶ τῇ ὀθόνῃ τῇ αὐτῆς καλυψαμένη ὄψιν,
ἐπὶ τὴν τένταν ἔδραμεν μεγάλως πτοηθεῖσα·
« πρὸ τοῦ, ψυχή μου, ἐξελθεῖν πρός με, φησίν, αὐθέντα,
ἀπὸ τοῦ φόβου τέθνηκεν ἄγαν ἡ λαλιά μου,
ἰδοὺ γὰρ χωριζόμεθα καὶ ἑαυτὴν οὐ φέρω ».
Ἐγὼ δὲ ἔφην πρὸς αὐτήν· (παῦσαι, ψυχή, τοιαῦτα
λογίζεσθαι κατὰ τὸν νοῦν, ἐμὲ ὡς οὐκ εἰδυῖα·
οὓς γὰρ Θεὸς ὁ βασιλεύς, ὁ ποιητὴς τῶν πάντων,
ἥνωσεν, οὐ χωρίζουσιν ἀνθρώπων μυριάδες ».
Εὐθὺς τὴν ῥάβδον εἴληφα καὶ τὸ χειροσκουτάριν,
ὡς ἀετὸς εἰς περδίκας ἀφ᾽ ὕψους ἐπετάσθην
ἐκεῖνοι δὲ ὑπήντησαν καὶ ἤρξαντο τοῦ κρούειν·
ἐκεῖνοι μὲν μοὶ ἔκρουον, ἐξήρχοντο οἱ κτύποι,
ὅσους δὲ ῥάβδος ἡ ἐμὴ ἔφθασεν ἀπελάτας,
ζωῆς ἐν τούτοις λείψανον οὐδόλως ὑπελείφθη.

Πολλοὶ δὲ θέλοντες φυγεῖν, αὐτοὺς ἐγὼ προφθάνων,
(οὐ γὰρ ἐνίκησε ποτὲ ἐμὲ εἰς δρόμον ἵππος,
καὶ οὐ σεμνύνων ἑαυτὸν ταῦτα ἐπαγορεύω,
ἀλλ' ἵνα καταμάθετε τὰς δωρεὰς τοῦ πλάστου)
τινὲς δ' ἐμὲ λανθάνοντες ἔφευγον εἰς τὰ δάση,
ὅμως ὀλίγῳ ἅπαντας θανάτῳ παρεδόμην·
ἕνα ζωγρήσας ἐξ αὐτῶν παρ' οὗ μαθεῖν ἐζήτων
τίνες ὑπῆρχον οἱ θρασεῖς παράφρονές τε νέοι,
οὓς καὶ μαθὼν ἐκ τῶν αὐτοῦ ὡς ἄγαν ἀριδήλως,
ἐφόνευσα καὶ τὸν αὐτόν, ἐκ τοῦ θυμοῦ πῦρ πνέων.
Εἶθ' οὕτως ῥίπτω τὸ ῥαβδὶν καὶ τὸ χειροσκουτάριν,
καὶ σείων τὰ μανίκια, ἠρχόμην πρὸς τὴν τένταν.
Ἡ κόρη δέ, ὡς εἶδέ με μόνον περιλειφθέντα,
ἐξῆλθεν εἰς ἀπάντησιν χαρᾶς ἐμπεπλησμένη,
ῥοδόσταμά μοι ἔνιπτεν μετὰ χειρῶν τῶν δύο,
φιλοῦσά μου τὴν δεξιὰν καὶ ζῆν ἐπευχομένη.
Τί δὲ αὐτοῖς συμβέβηκε γνώσεσθε δι' ὀλίγων.
«Καὶ γὰρ εἰς ὃν εἰργάσαντο πεπτώκασιν τε βόθρον».
Οἱ δὲ ταῦτα ἀκούσαντες ἀλλήλους ἐθεώρουν
τοιάδε ψιθυρίζοντες, χείλη κινοῦντες μόνον·
«μὴ ἔνι οὗτος ὁ Διγενής, ὃν λέγουσιν Ἀκρίτην;
χρὴ νὰ τὸν δοκιμάσωμεν, νὰ τὸν βεβαιωθῶμεν».
Καὶ λέγει μοι ὁ πρόκριτος· «πῶς ἔχομεν πιστεῦσαι
ὅτι μόνος καὶ ἄοπλος, πεζός, καθάπερ λέγεις,
σὺ μετ' αὐτῶν ἐτόλμησας μάχην ἐπισυνάψαι;
ἡμεῖς γὰρ οὓς γυρεύομεν, τὸν ἀριθμὸν ὑπῆρχον
ἄνδρες ὡς τριακόσιοι ἅπαντες ἀπελάται,
οὓς εἴχομεν δοκιμαστοὺς ἐν τάξει πολέμου·
ἀλλ', εἴπερ λέγεις ἀληθῶς, φάνηθι ἐκ τῶν ἔργων,

ἕνα ἔκλεξον ἀφ' ἡμῶν ὃν βούλει νεανίαν,
καὶ μονομάχησον αὐτὸν καὶ γνώσομεν εὐθέως».
Ἐγὼ δὲ ἐμειδίασα ταῦτα ἐκείνους φάσκων·
«ἐγὼ δὲ μονογενής εἰμι καὶ μόνος διατρίβω,
ἀφ' ὃ ἠρξάμην πολεμεῖν εἰς ἕνα οὐκ ἀπῆλθον».

## Ἐξήγησις τοῦ Ἀκρίτου περὶ τοῦ Ἀγκύλα.

Καὶ ἐν μιᾷ τῶν ἡμερῶν εἰς ἀνδραγάθημά μου,
φαρὶν ἐκαβαλλίκευσα, ἐξέβην εἰς τὸν κάμπον,
νεώτερον ὑπήντησα ἐν Μεσοποταμίᾳ,
πανεπιτήδειον, εὔνοστον, ἄγαν ἀνδρειωμένον·
φαρὶν αὐτοῦ μὲ ἤρεσεν ὅπως αὐτὸ ἐπάρω,
τὸ βλέμμα εἶχεν εἰς φαρὶν ὁ νέος εἰς ἐμὲ γάρ,
ἦν δὲ καὶ μᾶλλον εὔθειος, ἄγαν ἀνδρειωμένος,
ὀλίγον μοὶ ἐπέλαθεν, δέδωκέ μοι ῥαβδέαν,
καὶ μετ' αὐτοῦ τοῦ κρούσματος ἀπῆρε τὸ ῥαβδίν μου,
καὶ γράμματά μοι ἔγραψεν ἄνω αἱματωμένα,
καὶ τῶν γραμμάτων ἡ ἀρχὴ ἦτον ὁ λόγος οὗτος·
«Ἀκρίτα, μὴ τὸ λυπηθῇς, μηδὲ καρδιὰν πονέσῃς,
ἐγὼ γὰρ ὁ ἐκ πόδι σου ὁ λέων ὁ Ἀγκύλας·
ἐγὼ διὰ σὲ ἐλήλυθα, δουλειὰν ἄλλην οὐκ εἶχον,
τὸ ζήτημά μου ἐπλήρωσα καὶ τὴν εὐχήν σου, Ἀκρίτα.
Μᾶλλον καὶ διηγήθητι τοὺς ἀπελάτας ὅλους
ὅτι Ἀγκύλας δέδωκεν ῥαβδέαν με μεγάλην,
καὶ ὅλως οὐκ ἐθανάτωσε τοιοῦτος ἀνδρειωμένος».
Τοῦτό ἐστι τὸ σύγγραμμα τοῦ θαυμαστοῦ Ἀγκύλα,
καὶ μέλλω διηγήσασθαι τί ἔπαθεν ἐκεῖνος.
Πηδῶ, ἐκαβαλλίκευσα καὶ τὸ ῥαβδίν μου ἀπῆρα,

ἀπῆλθον εἰς τὴν τέντα μου μετὰ σφοδροῦ τοῦ πόνου,
σκάλα βαλὼν ἐπέζευξα τὸν θαυμαστόν μου γρίβαν,
τὰ ἐξ αἱμάτων γράμματα ἀνέγνωσα τῆς ῥάβδου,
ἐννοιαζόμην πάντοτε πῶς νὰ τὸν ἀποδώσω.
Χρόνον οὐκοῦν ἐπλήρωσα καὶ εἷλκέ με ὁ πόνος,
καί, μετὰ τὴν συμπλήρωσιν τοῦ ἐναντίου χρόνου,
καθ' ἑαυτὸν ἐνόμισα νὰ τὸν ἀνταποδώσω
τὸ τῆς ῥαβδέας χρέος τε ὡσαύτως καὶ γραμμάτων
Ἀγκύλαν τὸν θαυμάσιον καὶ ἄγαν ἀνδρειωμένον.
Πηδῶ, ἐκαβαλλίκευσα τὸν θαυμαστὸν τὸν μοῦντον,
ὃν ἐπεθάρρουν πάντοτε εἰς τὰς ἀνδραγαθίας·
ἀπῆρα τὸ σκουτάριν μου ὁμοίως καὶ τὴν θαμποῦραν,
καὶ τὸ λιτόν μου τὸ ῥαβδίν, καὶ ὑπάγω εἰς τὸν ἀγῶνα,
καί, ὅταν ἐπλησίασα οἶκον τὸν τούτου, τότε
ἔκρουον τὴν θαμπουράν μου καὶ κηλαδεῖν ἠρξάμην·
ἀηδονικὰ ἐλάλησα, πάντας ὑπερεκπλήττων·
ἀρχὴ τοῦ μελῳδήματος ἦτον ὁ λόγος οὗτος·
« εἰς ταῦτα τὰ λαγκάδια καὶ ταύτας τὰς κλεισούρας,
καὶ εἰς ταῦτα τὰ κατάπετρα καλὰς ῥαβδεὰς ἀνδρείους
χαρίζουσιν οἱ εὐγενεῖς καὶ μᾶλλον ἀνδρειωμένοι·
ἐδάνεισαν κ' ἐμὲ ῥαβδεὰν ἄγαν ἀνδρειωμένην,
κἀγὼ τὸ χρέος δέδοικα πάμπολλα κατ' ἀξίαν
καὶ βούλομαι ἀπόδοσιν ἐργάσασθαι δικαίαν·
ὧδε λοιπὸν ἐλήλυθα τοῦ ἀποδώσειν ταύτην».
Ἀγκύλας δὲ ὡς ἤκουσε ταῦτά με προσφωνοῦντα,
καὶ πρὸς τὸ θάρρος τὸ πολὺ τῆς συνηθείας τούτου,
ἐλάλησε τὸ ἱππάριον, ἐπάνω μου κατέβη·
τὸν μοῦντόν μου ἐπηλάλησα, ἠρξάμην τοῦτον κρούειν,
μικρὰν ῥαβδεὰν τὸν ἔδωκα ἐπάνω εἰς τὸ μετῶπιν,

αὐτίκα ηὑρέθη ἄφωνος, πεσὼν ἐκ τοῦ φαρίου·
εὐθὺς δ' ἐγὼ ἐπέζευσα, κρατῶ νὰ τὸν ἐγείρω,
στενάξας δ' ὁ νεώτερος ἐξέπνευσεν εὐθέως.
«Σὺ δὲ λοιπόν, Φιλόπαππε, οὕτως με συντυχαίνεις;
ὑπάγετε, πεζεύσατε, δεῦτε οἱ τρεῖς εἰς ἕνα,
εἰ δ' ἴσως καὶ αἰσχύνεσθε, δεῦτε μετὰ τῶν ἵππων,
καὶ ἐκ τῶν ἔργων μάθετε ποῖος ἐγὼ τυγχάνω·
καί, εἰ δοκεῖ, ἀρξώμεθα τῆς μάχης ἀπεντεῦθεν».
Τοῦτο εἰπὼν καὶ ἀναστάς, λαμβάνω τὸ ῥαβδίον,
καὶ τὸ χειροσκουτάριον, ἐκεῖ γὰρ εἶχον ταῦτα·
καί, πρὸς ὀλίγον, ἐξελθών, ἔφην αὐτοῖς μεγάλως·
«ἄρχοντες, ὡς κελεύετε, ἕτοιμος γὰρ τυγχάνω».
Τούτων ὁ πρῶτος ἔφησεν· «ὡς λέγεις οὐ ποιοῦμεν,
ἡμεῖς τύπον οὐκ ἔχομεν ἐλθεῖν οἱ τρεῖς εἰς ἕνα,
οἳ καὶ θαρροῦντες τοῦ νικᾶν ἕκαστος χιλιάδας·
ἐγὼ γὰρ ὁ Φιλόπαππος εἰμὶ ὅνπερ ἀκούεις,
Ἰωαννίκιος οὗτος δὲ καὶ Κίνναμος ὁ τρίτος·
οὐκοῦν καὶ αἰσχυνόμεθα τοῦ πολεμῆσαι ἕνα,
ἀλλ' ἐπιλέξου ἀφ' ἡμῶν οἷον αὐτὸς κελεύεις,
καὶ ἔκτοτε γνωρίσομεν ἀλήθειαν τὴν πᾶσαν».
Κἀγὼ δὲ ἔφην πρὸς αὐτούς· «δεῦτε λοιπὸν ὁ πρῶτος».
Εὐθὺς δὲ ὁ Φιλόπαππος κατῆλθεν ἐκ τοῦ ἵππου,
καὶ τὸ σπαθὶν ἀράμενος εὐθὺς ὡσὰν ἀσπίδα
τρανῶς εἰσῆλθεν εἰς ἐμὲ πτοῆσαί με ἐλπίζων,
ὡς λέων ὠρυόμενος, ὡς δράκων τε συρίζων·
εἶχε καὶ γὰρ ὡς ἀληθῶς ὁρμὴν ἀνδρειοτάτην,
σπαθέαν οὖν μοι δέδωκεν καλὴν εἰς τὸ σκουτάριν,
ἐν τῇ χειρὶ τὸ κράτημα μόνον μοι ὑπελείφθη.
Οἱ δύο ἐξεφώνησαν ἄντικρυς καθορῶντες·

« καὶ ἄλλην μίαν, Φιλόπαππε, γεροντικὴν ἐπίθες ».
Ὁ δὲ αὖθις βουλόμενος σπαθίον ἀνατεῖναι
ἐγὼ ὠπισθαπόδησα μικρὸν ἀναποδήσας·
τῇ ῥάβδῳ διακέφαλα τοῦτον ἐγὼ πατάσσω,
καί, εἰμὴ ταύτην ἔσκεπε διόλου τὸ σκουτάριν,
σῷον οὐκ ἔμενεν ὀστοῦν ἐν ταύτῃ τὸ παράπαν·
ὅμως ὁ γέρων ζαλισθείς, ἐπὶ πολὺ τρομάξας,
καὶ μυκησάμενος ὡς βοῦς ἐπὶ τὴν γῆν ἡπλώθη.
Τοῦτον δὲ θεασάμενοι οἱ ἕτεροι ὡς εἶχον
δυνάμεως ἐπάνω μου ὥρμησαν μετὰ τῶν ἵππων,
καὶ μηδαμῶς αἰδούμενοι ὡς πρώην ἐκαυχῶντο.
Τούτων ὡς εἶδον τὴν ὁρμήν, ἁρπάζω τὸ σκουτάριν
ἐκ τῶν χειρῶν τοῦ γέροντος, καὶ πρὸς αὐτοὺς ἐκτρέχω,
καὶ γινομένης συμπλοκῆς, πολέμου τε ἐνστάτου,
οἱ δύο μοι ἐπέπεσον ὡς κύνες ἠνδρειωμένοι,
ὄπισθεν μὲν ὁ Κίνναμος ἔσπευδε τοῦ λαθεῖν με
εἰς δὲ τὸ κρούειν καὶ δέχεσθαι μάλα λαμπρῶς εἰκότως
Ἰωαννίκιον εὕρισκον τὸν πρῶτον καὶ ἀνδρεῖον,
εἶδον καὶ γὰρ πολεμιστὰς ἐν ἀληθείᾳ δοκίμους,
τὴν κόρην δὲ ἐφώνησα ταύτην εἰκότως οὕτως·
« οὗτοί εἰσιν οἱ θέλοντες κρούειν τε καὶ λαμβάνειν ».
Τὸν Ἰωαννίκιον ἔβλεπον μήπως κρυπτῶς μοι δώσῃ,
ἀλλ' οὐδαμῶς οὐκ ἴσχυσεν ἐμοὶ περιγενέσθαι
τις ἐκ τῶν δύο τῶν λαμπρῶν ἐκείνων τῶν ἀνδρείων.
καὶ γὰρ ἡνίκα τὴν ἐμὴν ῥάβδον ἐτιναξάμην,
ἔφυγον ὡσεὶ πρόβατα ἀπὸ προσώπου λύκου
καὶ αὖθις πάλιν ἤρχοντο, ὡς κύνες ὑλακτοῦντες·
ὡς οὕτως δὲ ἐγένετο ἐφ' ὥραν οὐκ ὀλίγην.
Ἡ κόρη μου κατέλαβεν, πλὴν ἵστατο μακρόθεν,

ἄντικρυς ἐν ἐπίτηδες τοῦ παρ' ἐμοὶ ὁρᾶσθαι·
ὡς εἶδε δὲ κυκλοῦντάς με τοὺς δύο ὡσὰν κύνας,
λόγον ἐμοὶ ἐπίκουρον ἐτόξευσεν εἰποῦσα·
« ἀνδρίζου, ὦ παμφίλτατε ». Εὐθὺς δὲ σὺν τῷ λόγῳ
ἰσχὺν ἀναλαβόμενος τὸ ῥῆμα τῆς φιλτάτης,
τὸν Ἰωαννίκιον ἔκρουσα ἄνωθεν τοῦ ἀγκῶνος
ἐν τῇ χειρὶ τῇ δεξιᾷ μετὰ μικρᾶς ἰσχύος·
ὀστέα συνετρίβησαν, ἡ χεὶρ ὅλη ἡπλώθη
ὀλίγον δέ μοι παρελθὼν πέπτωκεν ἐκ τοῦ ἵππου,
καὶ τὸ σπαθίον ἐπὶ γῆς ἔπεσε παραχρῆμα,
ὁ πόνος γὰρ ἐδάμαζε συνεπιὼν αὐτίκα
ἐκ τῆς χειρὸς τὸν συντριμμόν· ἠκούμβησεν εἰς πέτραν.
Τοῦτον ἰδὼν ὁ Κίνναμος ἔτυψε τὸ φαρίν του,
καὶ μετὰ πάσης τῆς ὀργῆς ἐπάνω μου κατῆλθε,
τὴν χεῖρα ἐπετίναξεν, ἵνα σπαθεὰν μοὶ δώσῃ.
Καλὴν ῥαβδέαν ἔδωκα τὴν φάραν 'ς τὸ κεφάλιν,
καὶ μὲ τὸν καβαλλάριν της ἔπεσεν ἔμπροσθεν μου
καὶ ἐγὼ τὸν ἐλάλησα· « μὴ πίπτῃς, ἀλλ' ἐγείρου,
καὶ γὰρ ἐγὼ οὐ θέλω σε κείμενον κρούειν ὅλως,
ἀλλὰ περισωρεύθητι, ἂν θέλῃς πάλιν ἔρχου ».
Γοργὸν δὲ διεγείρεται, πηδᾷ, καβαλλικεύει,
ἐπῆρε τὸ κοντάρι του τρανῶς ἐπεγυρίσθη,
σύντομα ἐπηλάλησεν κονταρέα μοι δώσειν·
ἐκράτουν τὸ ῥαβδίτζιν μου πάλιν ῥαβδεὰν τοῦ κρούω,
καὶ σύσσελλον τὸν ἔρρηξα ἀπὸ τὴν φάραν κάτω,
τὸν ἀγκῶνα ἐφήπλωσεν εἰς τὴν γῆν ὡς κοτύλιν.
Ὡς εἶδεν ὁ Φιλόππαπος χαρίσμασι τοιούτοις,
εὐθυς ἐξεῖπε πρὸς ἐμέ· « νεώτερε καλέ μου,
τὸν πόλεμον κατάλειψον, ποίησον ἀγάπην·

μᾶλλον ἂν καταδέχαιο δέξασθαι συμβουλήν μου
καὶ ἀναδέξαιο ἀρχὴν τῶν ἀπελάτων ὅλων,
ἔνθα κελεύεις ἅπαντας ὡς σοὺς καλοὺς οἰκέτας,
τὰ σὰ γὰρ καὶ πληρούμεθα ταξείδια συντόμως».
Ὡς ταῦτα οὕτως ἤκουσα, ἠλέησα τοὺς ἑτέρους,
τόν τε Ἰωαννίκιον σὺν τῷ Κιννάμῳ ἅμα,
πραΰνουσι γὰρ τὸν θυμὸν ῥήματα τῆς θωπείας·
καὶ μειδιάσας πρὸς αὐτὸν μετ' εἰρωνείας ἔφην.
« Φιλόπαππε, ἐξύπνησας, καὶ ὄνειρά μοι λέγεις·
ἐπεὶ οὖν εἰς κατάνυξιν μετέστρεψε σὸν γῆρας,
ἀνάστα λάβε τοὺς σὺν σοί, πορεύου ἔνθα βούλει,
οἰκείους ἔχων ὀφθαλμοὺς μάρτυρας τῶν πραχθέντων·
καὶ οὓς ζητεῖτε πίστευσον λέγουσι γὰρ ἀπάρτι
ἐξ ἡμετέρου ἀριθμοῦ κακῶς ἀναιρεθέντας·
ἄρχειν δὲ οὐκ ἐφίεμαι, ἀλλὰ διάγειν μόνος
ἐπείπερ καὶ μονογενὴς πέφυκα τοῖς γονεῦσιν·
ὑμῖν γὰρ ἄρχειν ἔξεστι, καὶ συνεργεῖν ἀλλήλοις
ἐν οἷς ἔχετε δύναμιν, ποιεῖσθαι καὶ τὰ κούρση
καὶ εἰ πολλάκις βούλεσθε πάλιν με δοκιμάσαι . . . . »
ἐξέλθετε, ζητήσατε πάντας τοὺς ἀπελάτας
ἐγὼ ὑμᾶς νὰ καρτερῶ καλῶς νὰ περιμένω·
εἶτα λαβὼν τὴν ποθητὴν ἐκ τῆς χειρὸς αὐτίκα
πόρρωθεν ἐκαθέσθημεν εἰς δένδρον ὑποκάτω.
Ὡς ἤκουσεν ὁ **Φιλόπαππος** τοῦ Διγενοῦς τὸν λόγον,
« Ἀλλ' εἴπερ καὶ θέλετε, παιδία, εἶπε, τὴν συμβουλήν **μου**,
ἀλλὰ φανοὺς νὰ κάμωμεν, νὰ μαζωχθῇ ὁ λαός μας
ἵνα αὐτὸν ἐκπέσωμεν τὴν νύκταν ἀδοκήτως.
Καὶ γὰρ πεντηκοστὸν ἐγὼ δεύτερον ἔτος ἄγω,
πλείστας τε πόλεις ἔδραμον καὶ χώρας οὐκ ὀλίγας,

ἀλλ' ἅπασαι ἡττήθησαν, οἷα χορὸς ἀστέρων,
ἡνίκα τὰς ἀκτῖνας γὰρ ὁ ἥλιος προτείνει·
πόσας γὰρ τὰς περιφανεῖς ἃς πρότερον κατεῖδον,
ἀστέρων ἔχειν αἴγλην τε ταύτας ἐγὼ νομίζω·
ἡλίου δὲ λαμπρότερον ἐμφαίνει τὴν ὡραίαν,
τὴν παρ' ἐλπίδα σήμερον ἐξαίφνης μοι φανεῖσαν·
ἀλλὰ λοιπόν, παγκάλλιστε, θάρσει μεγάλως ἄγαν,
ὡς γαμετὴ τυγχάνει σου ἀπάρτι ἡ ὡραία·
ἀλλ' εἴπερ μου ἀκούετε καὶ δέχεσθε βουλήν μου,
μὴ τὸ καταδεξώμεθα καὶ λάβῃ τοῦτο ἔθος,
μηδὲ ἀνεκδιήγητον ἐάσωμεν τὴν τόλμην,
ἀλλὰ φανοὺς ποιήσωμεν καὶ περισυσταθῶμεν,
ἀνταποδώσωμεν αὐτὸν ἀνταμοιβὴν δικαίαν,
καὶ γὰρ πέποιθα ἐγώ, τέκνα μου, οὐ μὴ πάντας ἀνέλῃ».
'Ανήλθοσαν εἰς τὸ φανόν, τὴν σύναξιν ποιοῦντες·
τῇ δὲ νυκτὶ ἐπὶ πολὺ πυρσοὺς ἐκδᾳδουχοῦντες,
οὐδεὶς ὑπῆρχε θεωρῶν κἀκείνους ἀπελάτης·
ὡσαύτως οὖν ἐπὶ τρισὶν νυξί τε κοπιῶντες,
καὶ τὸ παράπαν οὐδὲ εἰς παρῆν τῶν δοκουμένων,
οἱ περὶ τὸν Φιλόπαππον ἄρχονται καταλέγειν·
« τί, γέρον ἀνδρικώτατε, κόπους ἡμῖν παρέχεις;
οὐκ εἴληφας τὸ πάμπιστον ἡμῶν τῆς εὐτολμίας
ἐξ ὧν εἶδας ἀριστειῶν, ἐπάθλων τε μεγίστων,
τῶν τελεσθέντων ἐξ ἡμῶν ἐν ἱκανοῖς πολέμοις;
οὐ γὰρ ἐθαύμασας πολλὰ ἡμῶν ὡς ἀηττήτους,
τὰς παραδόξους καθορῶν ἀεὶ ἀνδραγαθίας,
καὶ παρ' αὐτοῦ ἡττήθημεν ὡς ἄπειροι πολέμου,
περὶ ἐκείνων ἀπιστεῖς μὴ ὑπ' αὐτοῦ κτανθῆναι;
ἀλλ', εἰ κελεύεις, ἄκουσον βουλεύματος σῶν τέκνων,

μὴ καταλείψωμεν πολλοὺς καὶ ἀνηνύτους μόχθους·
ἄπελθε οὖν πρὸς Μαξιμώ, ἡμῶν τὴν συγγενίδα,
καὶ παρακάλεσον αὐτὴν ἡμῶν συμβοηθῆσαι,
ὅπως αὐτὸν ἐκπέσωμεν ἀνόητα τὴν νύκτα,
καὶ ἴσως νὰ περιφυρθῇ καὶ οὐ μὴ καβαλλικεύσῃ,
καὶ ἀναστείλωμεν αὐτοῦ τὴν πάντολμον ἀνδρείαν·
εἰ δ' ἴσως καὶ καθίσειεν εἰς τὸ αὐτοῦ ἱππάριν,
πάλιν νὰ ἀποδράσωμεν καὶ πάντας μὴ ἀνέλῃ».
Καὶ ἤρεσεν ἡ συμβουλὴ τῷ γέροντι ἀσμένως·
εὐθὺς τῷ ἵππῳ ἐπιβάς, πρὸς Μαξιμὼ ἀπήει.
Αὕτη δὲ ἦν ἀπόγονον, ὡς ἐδιδάχθην, ὄντως
τῶν Ἀμαζόνων γυναικῶν ἐκείνων τῶν ἀνδρείων,
ἃς βασιλεὺς Ἀλέξανδρος ἤγαγεν ἐκ Βραχμάνων·
εἶχε δὲ τὴν ἐνέργειαν μεγίστην ἐκ προγόνων,
βίον ἀεὶ τὸν πόλεμον ὡσαύτως ἡγουμένη.

Πρὸς ταύτην ὁ Φιλόπαππος γενόμενος ὡς ἔφην,
ἠσπάζετό τε προσηνῶς, « πῶς ἔχεις » ἐπερώτα·
τῆς δὲ εἰπούσης· « ζῶ καλῶς, τῇ τοῦ Θεοῦ προνοίᾳ,
σὺ δέ μοι, ὦ παγκάλλιστε, πῶς ἔχεις μετὰ τέκνων,
καὶ ὅτου χάριν πρὸς ἡμᾶς τούτων χωρὶς παρῆκες ; »
αὖθις ὁ γέρων ἔφησε τάδε, οὐκ ἀληθεύων·
« οἱ παῖδές μου, κυρία μου, οἱ ἄγαν μοι φιλτάτοι
καλῶς ἔχουσι σὺν Θεῷ, ἀπῆλθον εἰς τὰς ἄκρας,
σπεύδοντες τοὺς ὁλοσχερῶς ἀτάκτους ἀφανίσαι.
Τῶνδε κἀγὼ ἀπολυθείς, χάριν ἀναπαυθῆναι
καὶ μᾶλλον οἰκονομικῶς Θεοῦ συνευδοκοῦντος,
εἰς τοῦ καλοῦ ἀνεύρεσιν καὶ ἀντιμίσθου δῶρον,
ὡς γὰρ οὐκ ἦν με τέλεον πώποτε ἠρεμῆσαι,
μετὰ τὴν ὑποχώρησιν τῶν τέκνων μου φιλτάτων,

μόνος τοῦ ἵππου ἐπιβάς, ἀνέτρεχον τὰς ἄκρας,
τοὺς πόρους τε ἐσκόπευον διὰ τοὺς ἐναντίους·
ὡς ἦλθον δὲ ἐν τῇ ὁδῷ τῇ λεγομένῃ Τρώσει,
πρὸς μέρος τὸ ἐπώνυμον ἐν τῷ δασεῖ λειμῶνι
θήραμά τι ἐνέτυχον, χρυσοῦ τιμιωτέραν
κόρην, οἵαν οὐδέποτε εἶδον οἱ ὀφθαλμοί μου.
Εἶχε φαιδρότητα λαμπράν, ἀμήχανον τὸ κάλλος,
ἐξ ὀφθαλμῶν ἀπόρρητον τὴν χάριν κεκτημένην,
ἔργον καὶ γὰρ ἐνθέατον τὴν ἡλικίαν εἶχεν,
καὶ θέλγει πάντων τὰς ψυχὰς εἰκὼν καθάπερ ἔμπνους·
ἔστι δέ, ὡς ἀνέμαθον, τοῦ Δούκα ἡ θυγάτηρ,
ἣν (λόγου ἠγγυώμεθα διὰ τοῦ σοῦ φιλτάτου
Ἰωαννικίου τοῦ χρυσοῦ καὶ ἄγαν ἀνδρειωμένου),
ἕτερος δὲ παρέλαβεν, οὐκ οἶδα ποίῳ τρόπῳ,
καὶ μετ᾽ αὐτῆς εὐφραίνεται νυνὶ ἐν τῷ λειμῶνι.
Καί, εἴπερ ὅλως συγγενὴς κήδεσαι τοῦ φιλτάτου,
ὑπὲρ αὐτοῦ κοπίασον, δέξαι καὶ ἀγρυπνίαν,
ἐξ ἔργων τὴν ἀγάπην σου βεβαίωσον, κυρία,
ὁ γὰρ προθύμως κοινωνῶν θλίψεσι τῶν φιλούντων,
ἐκεῖνος φίλος ἀληθὴς καὶ συγγενὴς ὑπάρχει».
Τοιάδε ὁ Φιλόπαππος θωπευτικὰ φωνήσας,
διὰ παντὸς πειθήνιον τὴν Μαξιμὼ ποιεῖται,
καὶ γὰρ εὖ ἐξηπάτησεν φρόνημα γυναικεῖον.
Ὡς ἤκουσεν ἡ Μαξιμὼ τοὺς Φιλοπάππου λόγους,
αὐτίκα οὖν περιχαρῶς κράζει τὸν Μελεμέντζην,
ὃν εἶχε πρῶτον ἄγουρον, ἔξαρχον ἀπελάτην,
καὶ οὐδαμῶς ἠρώτησε τίς ὁ τὴν κόρην ἔχων,
καὶ μειδιῶσα πρὸς αὐτὸν ἐξεῖπε τερπομένη·
«ἔμαθες ὅτι ὁ θαυμαστὸς Φιλόπαππος ὁ γέρων

κυνῆγιν εὗρεν κάλλιστον ἀρτίως εἰς τὰς ἄκρας,
καὶ κράζει ἡμᾶς τοῦ ἀπελθεῖν ὅπως μεταβληθῶμεν
καὶ τῆς χαρᾶς μεταλαβεῖν καὶ τῆς τρυφῆς ἐντεῦθεν;
ἄπελθε οὖν καὶ σύναξον τοὺς ἀπελάτας ὅλους,
ἐκ τῶν χιλιῶν τοὺς ἑκατὸν ἐπίλεξον ἀνδρείους,
οὕσπερ δοκίμους ἔχομεν εἰς τὰς μεγάλας βίας».
Ὁ δὲ δεσποίνης πρόσταγμα μηδόλως ἀθετήσας,
ἀλλ' ἐν τῇ βίγλῃ ἀναβάς, ἐκείνῃ τῇ ἑσπέρᾳ,
καὶ ἐπιδείξας τοὺς φανούς, ἅπαντας συναθροίσας·
ἐκ τούτων ἐξεχώρισε τοὺς ἑκατὸν ἀνδρείους,
καὶ τούτους συμπαραλαβὼν εἰς Μαξιμὼ ἀπήει·
ἡ δὲ τὰς χρειὰς ἁπάσας τε καλῶς ἐναρματώσασ'
αὐτοὺς λαβοῦσα ἡ Μαξιμὼ ἅμα τῷ Φιλοπάππῳ,
πρός με καλῶς ἐξήρχοντο μετὰ τοῦ Μελεμέντζη·
ἐν δὲ τῷ ἀναστήματι γενόμενοι τοῦ λόφου,
ὁ γηραιὸς τὸ σύνθημα τοῖς φίλοις ἐπιφαίνει,
φανοὺς ἐξάψας τῇ νυκτὶ τοῖς περὶ τῷ Κιννάμῳ,
καὶ μεθ' ἡμέρας καὶ αὐτοὶ ἦλθοσαν μετὰ τούτων,
ἀσμένως παρὰ Μαξιμοῦς λίαν ἀποδεχθέντες·
ἐτίμα γὰρ ὡς ἀγχιστὰς τούτους καὶ ὡς συμμάχους·
ὡς ἤδη πλησιάσαντες τοῦ ποταμοῦ τὴν ὄχθην,
ἄρχεται τοῦ δημηγορεῖν ὁ Φιλόπαππος τοιάδε·
«ὁ τόπος μέν, κυρία μου, ἔνθα τὴν κόρην εἶδον,
ὑπάρχει δυσκολώτατος καὶ στενωπὸς διόλου·
πάντες γὰρ ἂν ἀπέλθωμεν, κρότον ποιοῦμεν μέγαν
καὶ γνωρισθῶμεν τῷ ἀνδρὶ φυλάσσοντι τὴν κόρην,
καί, πρὶν ἢ πλησιάσωμεν, κρύπτονται ἐν τῷ ἕλει.
Καί, ἀπὸ τότε τοιγαροῦν, ὡς μοὶ δοκεῖ, κυρία,
οὐδόλως ἐξισχύσωμεν τὸ θήραμα θηρεῦσαι,

καὶ γένηται διακενὴς πάντων ἡμῶν ὁ κόπος.
Ἀλλ', εἴπερ βούλει, ὁδεύσωμεν δύο καὶ τρεῖς γὰρ μόνοι,
συντόμως νὰ γυρεύσωμεν ὑπάρχει ποῦ ἡ κόρη,
καὶ οἱ μὲν δύο μείνωμεν ταύτην ἐπιτηροῦντες,
ὁ τρίτος δέ γε πρὸς ὑμᾶς ἐπανελθὼν δηλώσει,
καὶ σὺν αὐτῷ ἐλεύσεσθε μηδόλως ἀστοχοῦντες».
Πρὸς ταῦτα δὲ ἡ Μαξιμὼ τῷ γηραιῷ ἀντέφη·
«ὡς ἔμπειρον καὶ νουνεχῆ ἄρχειν σε ἐμπιστεύω,
πρᾶττε λοιπὸν ὃ βούλοιο, πάντων σοὶ πειθομένων».
Ταῦτα εἰπὼν μεθ' ἑαυτοῦ λαβὼν τὸν Μελεμέτζην,
ὡσαύτως καὶ τὸν Κίνναμον, ἤρχοντο πρός με τάχους,
τοῖς ἄλλοις προτεινόμενος προσκαρτερεῖν ἐκεῖσε,
ἄχρις ἂν μηνυθῇ αὐτοῖς ἐκεῖ παραγενέσθαι.
Ἐγὼ δὲ τότε ἔλαχον διάγειν ἐν τῇ βίγλῃ,
ἵππου κρατῶν τὸν χαλινόν, κάθησθαι ἐν τῇ πέτρᾳ,
καὶ τούτων τε διὰ παντὸς τὴν ἔφοδον ἐτήρουν,
εἶχον γὰρ τοῦτο εἰς τὸν νοῦν πῶς μέλλουσιν ἐλθεῖν μοι,
καὶ ἐμαυτὸν ηὐτρέπισα πρὸς ἀντιπαρατάξεις.
ἵππους δοκίμους ἀγαγὼν καὶ ἅρματα σὺν τούτοις·
ἐνδεδυμένος ἔτυχον ἱμάτιον βαγδάτιν,
καὶ θαυμαστόν, ὁλόσηρον ὀξὺν ἀζωσταράκιν·
εἰς ἵππον γρίβαν ἐπιβάς, ἀνῆλθον εἰς τὴν βίγλαν,
καὶ τούτων τε τὴν ἔφοδον ἐτήρουν ἐκ τῆς βίγλης.
Ἰδών με δ' ὁ Φιλόπαππος τὸν Μελεμέντζην λέγει·
«ὁρᾷς ἐκεῖνον (τῇ χειρὶ κἀμὲ ὑποδεικνύων)
ἐν πέτρᾳ τε καθήμενον τῇ ἀκρωρείᾳ ἄνω;
αὐτὸς ὑπάρχει, γίνωσκε, τὴν κόρην ὁ κατέχων·
μὴ τοίνυν ἐλευσόμεθα ἐκείνου νῦν πλησίον,
ἀλλὰ ἂς ἐρευνήσωμεν ἔνθα τὴν κόρην ἔχει,

ὅπως ἐλθεῖν γνωρίσωμεν, ὡς ἔφημεν εἰπόντες·
εἰ γὰρ καὶ μόνος πέφυκεν, ἀλλὰ καλὸς τυγχάνει,
οἶδα καὶ γὰρ οἷος αὐτὸς ὑπάρχει ἐν ἀνδρείᾳ,
εἰ γὰρ καὶ ἔστι μοναχός, μὴ πλανηθῇς κατάβην'».
'Αλλ' οὐδαμῶς συνέθετο αὐτοῖς ὁ Μελεμέντζης,
καὶ πρὸς αὐτὸν ἐφώνησε μεγάλως ἐπηρμένως·
ἐμὲ τοιαῦτα μὴ λαλῇς, Φιλόπαππε ἀνδρεῖε,
καὶ γὰρ ποτέ μου σύμβουλον χιλίους οὐκ ἐθέμην,
καὶ εἰς τὸν ἕνα λέγετε ἐγὼ νὰ περιμένω ;
οὕτως εἰπὼν ὁλόθυμου ἀντέστη κατ' ἐμοῦ τε,
ἐγὼ δὲ ἐσυντόμευσα, πηδῶ, καβαλλικεύω
καὶ τοῦτον δὲ δέδωκα ῥαβδέαν σμικροτάτην
καὶ μετὰ σέλλας ἔπεσεν εὐθὺς ἀπὸ τοῦ ἵππου·
πλανῶντάς μὲ ὁ Φιλόπαππος ἦλθεν ἐκ πλαγίου.
Εὐθὺς λαλῶ τὸν ἵππον μου, ἵνα τὸν φθάσω τοῦτον·
ἐκεῖνος πλέον ἔφυγεν, καὶ ἔβλεπεν ὀπίσω.
Οἱ μὲν γὰρ ἐκατήρχοντο τοῦ ποταμοῦ τὸ χεῖλος,
οἱ ἕτεροι δ' ἐσκόρπισαν γυρεύοντες τὸν πόρον,
ἔνθεν κἀκεῖθεν δύο τε καὶ Μαξιμὼ ἐν μέσῳ.
Στραφεῖσα δὲ ἡ Μαξιμὼ λέγει τῷ Φιλοπάππῳ·
«λέγε μοι, ὦ Φιλόπαππε, ποῦ ὁ τὴν κόρην ἔχων;»
ὁ δὲ φησίν· «οὗτός ἐστιν», ἐμὲ τὴν χεῖρα δείξας·
ἡ δέ· «καὶ ποῦ εἰσιν αὐτοῦ, ἤρετο, στρατιῶται;
μὴ οὐ γινώσκει ὡς δι' αὐτὸν ἡμεῖς ἐλθόντες ὧδε,
καὶ διὰ τοῦτο ἀμελεῖ καὶ τὸν λαὸν οὐ φέρει;»
Φησὶ δὲ ὁ Φιλόπαππος· «αὐτὸς λαὸν οὐκ ἔχει,
μόνος καὶ γὰρ περιπατεῖ μετὰ τῆς κόρης ἅμα,
εἰς τὴν ἀνδρείαν τε θαρρῶν καὶ τόλμην τὴν μεγάλην
τὴν ἑαυτοῦ, ἠγνοηκὼς ὅπερ παθῆναι μέλλει·

εἰ οὖν καὶ ἔστι μοναχός, σὺ μόνη μὴ ἀπέλθῃς!»
Ἡ δέ· «ὦ τρισκατάρατε γέρον, ἀνταπεκρίθη,
καὶ διὰ ἕνα κόπους μοι καὶ τῷ λαῷ παρέσχες,
πρὸς ὃν μόνη περάσασα, Θεῷ τε καυχωμένη,
ἄρω αὐτοῦ τὴν κεφαλὴν καὶ πρὸς ὑμᾶς ἐκφέρω;»
Ταῦτα εἰποῦσα ἐν θυμῷ, ὥρμησε τοῦ περάσαι·
ἐγὼ δὲ λέγω πρὸς αὐτὴν γενναίως μετὰ τόλμης·
«μηδὲν περάσῃς, Μαξιμώ, πρός με τοῦ συνοδεῦσαι,
ἀνδράσι μόνον πέφυκε ἔρχεσθαι πρὸς γυναῖκας·
ἔλθω κἀγὼ λοιπὸν πρὸς σέ, ὡς τὸ δίκαιον ἔχει».
Εὐθὺς λαλῶ τὸ ἱππάριν μου, ἐμβαίνω εἰς τὸ ποτάμιν.
ἦν δὲ πολὺς ὁ ποταμός, ἔπλευσε τὸ φαρίν μου,
ἀντίπερα τοῦ ποταμοῦ ἦτον ὀλίγον ὕδωρ,
κἀκεῖσε δὲ ἡ Μαξιμὼ ἵστατο ὡπλισμένη,
ἣ καὶ ἐτήρει προσβολὴν ἐμὴν ὥσπερ ἀνδρεία.
Ἐγὼ δέ, ὅταν ἔγνωκα εἰς γῆν πατεῖν τὸν ἵππον,
εὐθὺς λαλῶ τὸ ἱππάριν μου καὶ παίρνω τὸ σπαθίν μου,
ἐκείνη δὲ ἐσυντόμευσε, κρούει με κονταρέαν·
ἦσαν τὰ ἄρματα ὀχυρά, ἐκλάσθη τὸ κοντάριν·
ὥρμησεν ἵνα γυρισθῇ νὰ σύρῃ τὸ σπαθίον·
τινάξας δ' αὖθις τὸ σπαθὶν ταύτης μὲν ἐφεισάμην,
τῆς βρόχας δὲ τὴν κεφαλὴν ἀπέτεμον εὐθέως,
καὶ τὸ μὲν πτῶμα χαλεπῶς ἐπὶ τὴν γῆν ἠνέχθη·
ἡ δὲ ἀναποδήσασα, τρόμῳ συνεχομένη·
προσπίπτουσα ἐφθέγγετο· «Ἀκρίτα, μὴ ἀποθάνω»!
Κάλλος δὲ τὸ θαυμάσιον ὃ εἶχεν ἐλεήσας,
ἐκεῖ ταύτην ἀφέμενος, πρὸς τοὺς λοιποὺς ἀπῆλθον.
Ὁ δὲ λαὸς ὡς εἶδέ με ταύτην κρημνίσας οὕτω,
κύκλῳ περιεχύθησαν, ὡς ἀετοὶ εἰς βρῶμα,

μέσον αὐτῶν με ἄγοντες ἔπληττον πανταχόθεν,
οἱ μὲν σπαθεὰς ἐσώχειρας, ἕτεροι κονταρέας·
ὅπως δὲ πάντας ἤσχυνα, αἰσχύνομαι τοῦ λέγειν,
ἵνα μὴ ὡς καυχώμενον λογίσεσθέ μοι, φίλοι,
(ὁ γὰρ ἐκδιηγούμενος ἰδίας ἀριστείας
κενόδοξος λογίζεται ὑπὸ τῶν ἀκουσάντων,
ἐγὼ δὲ οὐ καυχώμενος ταῦτα ὑμᾶς ἐμφαίνω,
οὐ μὰ τὸν διδόντα ἰσχὺν καὶ γνῶσιν τοῖς φρονίμοις,
ἀμέλει γὰρ λεχθήτωσαν ὡς ἀληθείας οὔσης,
συγγνώμης ὅπως παρ' ὑμῶν τύχω τῶν ἀκουσάντων,)
ἐπείπερ τίς ἠδύνατο, τοσούτους προσοπλίτας
καθωπλισμένους ἰσχυρῶς, κατεθωρακισμένους;
καὶ γὰρ ὡς ἦλθον μέσου τε τούτους ἠρξάμην κρούειν,
πρὶν λάβωσι τὴν πεῖράν μου ἤρχοντο τοῦ με κρούειν·
ὡς πάντας δὲ τοὺς πρὸς ἐμὲ ἐλθόντας ἐπληττόμην
κατερραγμένους ἐπὶ γῆς, μεθ' ἵππων τετμημένους,
καὶ εἶδον τούτους ὑπὸ γῆν πεσόντας παράχρῆμα,
ἐκ τῶν αὐτῶν ἐγνώρισαν ὅστις ἐξ ἔργων ἤμην,
φυγῇ μόνον ἐπίστευον τυχεῖν τῆς σωτηρίας·
ἀλλὰ καὶ φεύγειν θέλοντας ἔφθανον τούτους τάχος.
καί, μὴ δυνάμενοι ποσῶς ἐμοὶ προσαντισθῆναι,
πεζεύοντες τὰ ἅρματα ἔρριπτον ἔμπροσθέν μου,
καὶ εἰς τὰ δάση ἔφευγον ὡς ἀτελῆ στρουθία.

Εἶχον δὲ ἅρματα καλὰ καὶ κατωχυρωμένα,
καὶ σὺν Θεῷ πεφύλαγμαι ἄτρωτος ἐν τῇ μάχῃ·
οὐκ εἰς πολὺ δὲ γέγονεν ἐκείνων ἡ θρασύτης,
τὸ παρ' ὀλίγον τόλμημα τῆς ληστρικῆς ἐφόδου,
ἀλλὰ ταχέως ἔσβεσα ὡς πῦρ ἐν τῷ ἀέρι·
Θεὸν γὰρ ἔχων βοηθὸν καὶ τοὺς αὐτοῦ ἁγίους,

πικρῶς αὐτοὺς κατέστρεψα νικήσας κατὰ κράτος·
εἰς τούτους γὰρ οὐκ ἔσυρα κοντάριν ἢ ῥαβδίον,
ἀλλὰ σπαθίν μου ἔσυρα, δέδωκα ἔσω χεῖρας,
καὶ ὅσους ἂν κατέτυχον, ἔκοπτον ὡσεὶ χόρτον,
ἡ γῆ τούτους ἐλάμβανεν φωνὴν μὴ κεκτημένους·
ἕτεροι δὲ συνέπιπτον, συνέκρουον ἀλλήλους
καὶ συμπατούμενοι δεινῶς τὸ ζῆν ἀπεστεροῦντο.
Ἐν ταύτῃ οὖν τῇ συμπλοκῇ τῇ γενομένῃ τότε,
ὀλίγοι ἐφυλάχθησαν ἄτρωτοι τοῦ πολέμου·
ὁ δὲ πεντάριθμος στρατὸς ἐκείνων τῶν γενναίων,
Φιλόπαππος, ὁ Κίνναμος ἅμα τῷ Ἰωαννίκῃ,
καὶ θαυμαστὸς ὁ Λέανδρος μετὰ τοῦ Μελεμέντζη,
βουλὴν ἐσκέψαντο κακὴν ἐν τῇ ὑποστροφῇ μου,
βουλόμενοι κωλῦσαί μοι τοῦ μὴ περάσαι πέραν,
ἐλπίζοντές με ἀνελεῖν μέσον αὐτῶν λαβόντες,
καὶ γὰρ ἐνόμισαν κακῶς οἱ ὄντες πολεμάρχαι,
χαυνότερον γενέσθαι με ὡς ἀπὸ τοῦ πολέμου·
ἐγὼ δὲ τούτους μήκοθεν ἰδὼν εὐτρεπισμένους,
καὶ καρτερῶντας τὴν ἐμὴν ἄφιξιν πρὸς ἐκείνους,
ἐλάλησα τὸ ἱππάριν μου καὶ πρὸς αὐτοὺς ὑπῆγον.
Αὐτοὶ δέ με ὡς εἴδασι σπεύδοντα πρὸς ἐκείνους,
ὥρμησαν τὰ κοντάρια οἱ πέντε στρατιῶται,
καὶ κονταρέας μὲ ἔδωκαν ἐξ ὅλης τῆς ἰσχύος,
ἦσαν τὰ ἅρματα ὀχυρὰ, ἀνδρεῖος ὁ στρατιώτης·
καὶ ἡ βουλὴ ἠστόχησεν στρατιωτῶν τῶν πέντε,
πάντα γὰρ ἔκοψα ἐγὼ τῷ ξίφει τῆς χειρός μου·
ὁ Λέανδρος, μὴ ὑπολαβὼν πεῖραν ἐμῆς ἀνδρείας,
σύρειν σπαθὶν ἐτόλμησεν, ἐπάνω μου κατῆλθεν,
καὶ ὥρμησε τοῦ δοῦναί μοι ἐπάνω εἰς τὸ κεφάλιν,

ἐγὼ δὲ ἐσυντόμευσα, ῥαβδέαν τοῦτον κρούω,
καὶ εἰς τὸ ποτάμιν ἔπεσεν ἅμα σὺν τῷ φαρίῳ,
οὐκ οἶδα κἂν ἀπέθανεν κἂν ζῇ αὐτὸς ἀκόμη.
Ὡς εἶδον οὖν οἱ τέσσαρες τοῦτον παθόντα οὕτως,
τροπὴν ἔξω ἐποίησαν φυγόντες κατὰ κράτος,
μηδόλως ἐπιστρέψαντες πρός με τὰς ὄψεις φέρειν·
τότε ἐγὼ ἐφώνησα κράζων αὐτοῖς τοιάδε·
«ἐκδέξασθε, τί φεύγετε; μικρὸν προσκαρτερεῖτε·
οὐ γὰρ ἐνδέχεται ὑμᾶς φεύγειν γενναίους ὄντας,
ὦ στρατιῶται ἐκλεκτοί, περίφημοι ἐν πᾶσιν,
ἀλλ' ἐπιμεῖναι καρτερῶς τὴν τοῦ πολέμου πεῖραν.
Καὶ σὺ μέν, ὦ Φιλόπαππε, καλῶς ποιεῖς καὶ φεύγεις,
γέρων ὑπάρχων ἀναιδής, δειλὸς ἐν τοῖς πολέμοις·
οὗτοι δὲ νέοι καὶ στερροί, ἔμπειροι ἐν ταῖς μάχαις,
θαυμάζω πῶς ἐκφεύγουσιν συντόμως ὡς παιδία».
Καί, ὡς εἶδον τούτους φεύγοντας, μηδόλως στρεφομένους,
τὸν ἵππον ἐπιλάλησα ἵνα τοὺς ἐπιφθάσω·
ὁ Μελεμέντζης ὥρμησε καὶ πρὸς ἐμὲ ἐγυρίσθη,
ῥαβδέαν τοῦτον δέδωκα μέσον τῶν δύο ὤμων,
καὶ σύσσελος κατέβη τε τῆς φάρας κουρασθείσης.
Οἱ ἄλλοι ἀπεμάκρυναν, οὐκ ἴσχυσα τοῦ φθάσαι,
καὶ λέγω αὐτοῖς τρανότερον ὅσον γὰρ ἐδυνάμην·
«φεύγετε τοίνυν, φεύγετε, καλὰ παλληκαρίτζια,
καὶ μέμνησθε τοῦ μοναχοῦ Ἀκρίτου Βασιλείου»!
Καὶ οὐκ ἐδίωξα αὐτούς, τὴν συμφορὰν οἰκτείρας,
ἔλεον γὰρ ἀείποτε εἶχον πρὸς τοὺς φυγόντας,
νικᾷν καὶ μὴ ὑπερνικᾷν, φιλεῖν τοὺς ἐναντίους.
Ὑπέστρεψα οὖν ὄπισθεν ἐν τῇ σχολῇ βαδίζων,
πλησίον δὲ τῆς Μαξιμοῦς ἐλθών, τοιάδε ἔφην·

«ἡ καυχωμένη ἄμετρα, θαρροῦσα τοῦ ἰσχύειν,
ἄπελθε, ἐπισύναξον τοὺς δυνηθέντας φεύγειν,
καὶ ἀνδραγάθει σὺν αὐτοῖς ἔνθα καὶ βούλει μόνη·
ἐξ ὧν ἔπαθες μάνθανε καὶ μὴ ἀλαζονεύου,
Θεὸς γὰρ ἀντιτάσσεται ὑπερηφάνοις πᾶσιν».
Ἐκείνη δὲ πρὸς ὑπαντὴν δραμοῦσα ἡμετέραν
τὰς χεῖράς τε συνέδησεν πρεπόντως τὰς ἰδίας,
καὶ μέχρι γῆς τὴν κεφαλὴν κλίνασα εὐκοσμίως,
«ἁπάντων γενναιότατον, ἔφησεν, εἶναι ἔγνων,
τὴν σὴν ἀνείκαστον ἰσχύν, καὶ φιλανθρωπίαν,
ἣν ἔσχεν οὐδεὶς πώποτε τῶν πάλαι καὶ ἀνδρείων·
ἀφ᾽ ὃ γάρ με ἐκρήμνισας, εἶχες καὶ τοῦ φονεῦσαι,
ἀλλ᾽ ἔφεισας, ὡς δυνατὸς καὶ μέγας ἐν ἐλέει».
Εἶτα περιλαβοῦσά μου τὸν πόδα κατεφίλει·
« εὐλογημένος ὁ πατὴρ καὶ μήτηρ οἱ τεκόντες,
κοιλία ἡ βαστάσασα, μασθοὶ οἱ θρέψαντές σε,
τοιοῦτον γὰρ οὐδέποτε ἕτερον εἶδον ἄνδρα.
Πληρῶσαι γὰρ παρακαλῶ σὲ τὸν ἐμὸν δεσπότην
καὶ αἴτησιν ἑτέραν μου, ἐκ ταύτης ὅπως γνώσῃς
ἀκριβεστέραν τὴν ἐμὴν πεῖραν ἐν τοῖς πολέμοις.
Κέλευσόν μοι τοῦ ἀπελθεῖν καὶ ἐπιβῆναι ἵππῳ,
καὶ τὸ πρωῒ ἐλεύσομαι ἐν τῷ παρόντι τόπῳ,
ὅπως μονομαχήσωμεν οἱ δύο καταμόνας ».
« Μετὰ χαρᾶς, τῇ Μαξιμῷ ἔφην κἀγὼ εὐθέως,
ἄπελθε ἔνθα βούλοιο, κἀμὲ ὧδε εὑρήσεις,
μᾶλλον δὲ φέρε καὶ τοὺς σοὺς ἑτέρους ἀπελάτας,
καὶ δοκιμάσεις ἅπαντας, τοὺς κρείττονας νὰ μάθῃς,
καὶ περὶ τούτου παντελῶς ἔχε ἀμεριμνίαν ».
Εἶθ᾽ οὕτως ἕνα συλλαβὼν τῶν ἐπαρθέντων ἵππων

ἤγαγον τοῦτον πρὸς αὐτὴν προστάξας ἐπιβῆναι·
διῆλθον οὖν τὸν ποταμόν, ἡ δὲ πρὸς τὰ οἰκεῖα,
χάριν μοι, ὡς ἐφαίνετο, πολλὴν ὁμολογοῦσα.
Καὶ εἰς τὴν τέντα μου ἐλθὼν ἐξέβαλον τὰ ὅπλα,
ἐνεδυσάμην θαυμαστὸν πτενώτατον μαχλάμιν,
ἔβαλον καὶ σγουρούτζικον, κόκκινον καμηλαῦχιν
εἰς ἵππον μετεσέλλισα δαγάλλον, ἀστεράτον,
ὅς εἶχε γνώμην κάλλιστον ἐν ταῖς ἀνδραγαθίαις·
σπαθίν, σκουτάριν εἰληφώς, καὶ βένετον κοντάριν,
τὸν ποταμὸν ἐπέρασα, ἤδη ἑσπέρας οὔσης,
διόπερ καὶ κατώκνησα τοῦ ἀπελθεῖν εἰς κόρην,
ἔστειλον δέ γε τοὺς αὐτῆς δύο θαλαμηπόλους.
Εἴχομεν δὲ καὶ ἱκανοὺς ἡμᾶς τοὺς ὑπουργοῦντας,
οἴκησις τούτων μήκοθεν ὑπῆρχεν ἐκ τῆς τέντας,
οὐχὶ δὲ ἅπαντες ὁμοῦ, ἀλλ' ἄνδρες μὲν ἰδίως,
αἱ δὲ γυναῖκες ἄπωθεν εἰς μέρος ἐποιοῦντο.
Περάσας οὖν, ὡς εἴρηται, τὸν ποταμὸν Εὐφράτην
ἐν τῷ λειμῶνι τῷ τερπνῷ εἰσῆλθον παραυτίκα,
τὸν ἵππον τε ἀνάπαυσιν δωρούμενος τὴν νύκτα.
Πρὸς ὄρθρον δὲ ἐπαναστὰς καὶ ἐπιβὰς τῷ ἵππῳ,
πρὸς τὸ πεδίον ἀνελθών, ἱστάμην ἀναμένων·
Τῆς δὲ ἡμέρας ἐν φωτὶ ἀρτίως ἀγαγούσης,
καὶ τοῦ ἡλίου λάμψαντος ἐπὶ τὰς ἀκρωρείας,
ἰδοὺ μόνη ἡ Μαξιμὼ ἐφάνη ἐν τῷ κάμπῳ,
ἵππον ἐκαβαλλίκευεν ἄσπρον ὥσπερ χιόνα·
τὰ τέσσαρα ὀνύχια τοῦ δηλωθέντος ἵππου
μετὰ τοῦ κόκκου ἐτύγχανον ἅπαντα βεβαμμένα.
Λωρίκιον θαυμαστότατον καὶ κατωχυρωμένον
ἐπάνω εἰς τὸ λωρίκιον ἱμάτιον ἐφόρει,

πολύτιμον καὶ θαυμαστὸν διὰ λιθομαργάρων·
ἐν τῇ χειρὶ ἐφέρετο πάνυ ὡραιωμένον
κοντάριον ἀραβιτικόν, βένετον χρυσωμένον,
σπαθίον περὶ τὴν ὀσφύν, ἀρτάχιν εἰς τὴν σέλλαν,
ἀσπίδα ἀργυρῆν κρατῶν γύρωθεν χρυσωμένην,
μέσον δὲ εἶχε λέοντα ὁλόχρυσον ἐκ λίθου,
καὶ διὰ ταύτης ἤρχετο πρὸς τὸ μονομαχῆσαι.
Ταύτης κἀγὼ πρὸς ὑπαντὴν ἐκίνησα εὐθέως,
καὶ πλησιάσαντες ὁμοῦ ἠσπάσθημεν ἀλλήλους,
εἶτα ἀπεχωρίσθημεν λαλήσαντες τοὺς ἵππους,
ἄνω καὶ κάτω πρὸς μικρὰν διαδραμόντες ὥραν,
ἄμφω προσυπαντήθημεν μετὰ τῶν κονταρίων,
καὶ ἐκ τῶν δύο οὐδαμῶς τις ἐκρημνίσθη τότε
καὶ χωρισθέντες παρευθὺς εἰλκύσαμεν τὰς σπάθας,
καὶ κρούοντες ἐνστατικῶς, ἀλλήλοις ἐμπεσόντες·
ταύτην ἐγώ, ὦ βέλτιστοι, παράπαν ἐφειδόμην,
ἀνδρῶν γὰρ ἐστὶ μωμητὸν οὐ μόνον τὸ φονεῦσαι,
ἀλλ' οὐδὲ ὅλως πόλεμον στῆσαι μετὰ γυναῖκας·
αὕτη δὲ ἦν ὀνομαστὴ τῶν τότε ἐν ἀνδρείᾳ,
τοῦ χάριν καὶ τὸν πόλεμον πρὸς ἐμὲ συνῆψε.
Χεῖρα δ' αὐτῆς τὴν δεξιὰν πλήσας ἐν τοῖς δακτύλοις,
ἡ σπάθη μὲν ἐπὶ τὴν γῆν πέπτωκεν ἣν κατεῖχεν,
τρόμος δὲ ταύτην εἴληφε, μεγίστη τε δειλία.
Ἐγὼ δὲ ἐξεφώνησα· « ὦ Μαξιμώ, τί τρέμεις ;
οἰκτείρω γάρ σε ὡς γυνὴν καὶ κάλλους πεπλησμένην,
ἀλλ' ἵνα γνώσῃς τίς εἰμι σαφέστερον ἐξ ἔργων,
ἰσχὺν ἐμὴν ἐνδείξω σοι ἐπὶ τῷ σῷ τε ἵππῳ».
Καὶ σπαθέαν καταβατὴν εἰς τοὺς νεφροὺς εὐθέως
δέδωκα ἐξ ἰσχύος τε οὐ πάσης δέ μου, φίλοι,

καὶ τοὺς νεφροὺς κατήγαγον, ἔκοψα τοῦτον μέσον.
Ἡ δὲ ἀναποδήσασα λίαν τεταραγμένη,
ἐπαρεκάλει πάμπολλα, θερμῶς ἐκδυσωποῦσα·
«οἰκτείρησον, αὐθέντα μου, τὴν σὴν ἀχρείαν δούλην,
τὴν μὴ καλῶς πιστεύσασαν, μηδὲ πεισθεῖσαν ἔργοις,
καὶ ἥνπερ ἔχεις ἐκ Θεοῦ ἀνείκαστον ἀνδρείαν·
ἐλέησόν με, κύριε, τὴν ἄγαν πλανηθεῖσαν,
ἀλλὰ καὶ πάλιν ἄκουσον δεήσεως αὐτίκα,
καὶ πλήρωσον τὴν δέησιν τῆς ταπεινῆς ψυχῆς μου.
Λόγον ἐθέμην ἐξ ἀρχῆς πρὸς τὸν Δεσπότην πάντων·
μὴ συνελθεῖν ποτὲ ἀνδρί, μὴ παρθενίαν φθεῖραι,
μέχρι ἐάν τις τῶν ἀνδρῶν νικήσῃ κατὰ κράτος,
καὶ πρὸς ἀνδρείαν εὑρεθῇ στερρότερός μου τότε·
καὶ τοῦτο μὲν ἐφύλαξα ἕως ἀρτίως ὧδε,
καὶ τὰς ὀρέξεις ἔφυγον καθαρὰς τῆς σαρκός μου».
«Οὐκ ἀποθάνῃς, Μαξιμώ, κἀγὼ αὐτὴν ἀντέφην·
ὅπερ δὲ φάσκεις μοι λοιπὸν ἀδύνατον τυγχάνει,
νόμιμον ἔχω γαμετήν, εὐγενικήν, ὡραίαν,
ἧς τὴν ἀγάπην οὐδαμῶς τολμήσας ἀθετῆσαι.
Δεῦρο λοιπὸν πρὸς τὴν σκιὰν ἀπέλθωμεν τῶν δένδρων,
καὶ διδαχθήσῃ ἅπαντα τὰ κατ' ἐμὲ πῶς εἶεν».
Ἐλθόντες δὲ πρὸς ποταμὸν ἐν δένδροις ὑποκλίνειν,
ἡ Μαξιμὼ τὴν ἑαυτῆς ἐκπλύνουσά τε χεῖρα,
καὶ δόκιμον ἐν τῇ πληγῇ βότανον ἐπιθεῖσα,
ὅπερ πληγαῖς εἰώθημεν φέρειν ἐν τοῖς πολέμοις,
ῥίπτει τὸ ἐπιλούρικον, ἦν γὰρ πολὺς ὁ καύσων·
ὁ δὲ χιτὼν τῆς Μαξιμοῦς ὑπῆρχεν ἀραχνώδης,
τὰ μέλη ταύτης ἤστραπτον τὰ πάντα ὡς ἀκτῖνες,
καὶ οἱ μασθοὶ προέκυπτον ὡς εὐθαλῆ τε μῆλα·

ἐτρώθη δέ μου ἡ ψυχή, ὡραία γὰρ ὑπῆρχε,
πάντα καθάπερ ἔσοπτρον ὑπέφαινε τὰ μέλη.
Καὶ ἐκ τοῦ ἵππου κατελθών, ἐφθέγγετο βοῶσα,
« χαίροις, δεσπότης ὁ ἐμός, ἐπάνω μου δραμοῦσα,
δούλη σου ὄντως γέγονα τῇ τοῦ πολέμου τύχῃ ».
Καὶ χεῖρά μου τὴν δεξιὰν ἡδέως κατεφίλει·
ὡς δὲ ἀνήφθη ὁ πυρσὸς ὁ τῆς ἐπιθυμίας
οὐκ εἶχον ὅστις γένωμαι, καθόλου ἐφλεγόμην·
πάντα λοιπὸν ἐσπούδαζα φυγεῖν τὴν ἁμαρτίαν,
καί, ἐμαυτὸν κατηγορῶν, ταῦτα ἐλογιζόμην·
« ὢ δαίμων, διατί ἐρᾷς πάντων τῶν ἀλλοτρίων
πηγὴν ἔχων ἀθόλωτον, ὅλην μεμερισμένην; »
Ταῦτα διαλεγόμενος καθ' ἑαυτόν, ὦ φίλοι,
ἡ Μαξιμὼ τὸν ἔρωτα ἐξῆπτεν ἔτι μᾶλλον,
τοξεύουσα ταῖς ἀκοαῖς λόγοις παγγλυκυτάτοις,
ἦτον γὰρ νέα καὶ καλή, ὡραία καὶ παρθένος,
εἶτα αὐτὴν καταλιπών, προπέμψας τε ἐκεῖθεν,
λόγον ἐξεῖπον πρὸς αὐτὴν παραμυθίας δῆθεν·
« ὕπαγε, κόρη μου, καλῶς καὶ μή μου ἐπιλάθου ».
Καὶ ἐν τῷ ἵππῳ ἐπιβὰς τὸν ποταμὸν διῆλθον.

## Περὶ τοῦ πῶς ὁ Ἀκρίτης ἀπῆλθε πρὸς τὴν κόρην καὶ κατησπάζετο αὐτήν.

Εἶτα παραγενόμενος πρὸς τὴν ἐμὴν φιλτάτην,
κατῆλθον ἐκ τοῦ ἵππου μου, ταύτην φιλῶ ἀπλήστως·
